
ΙΕΡΟΚΛΕΟΥΣ ΦΙΛΟΣΟΦΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΑ ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ ἔπη τὰ χρυσᾶ.

HIEROCLIS Philoſophi commentarius in aurea PYTHAGOREORVM carmina.

Ioan. Curterio interprete.

Ex bibliotheca D. FRANCISCI RVPIFVCALDII, RANDANI, Trenorchij Abbatis.



PARISIIS,
Apud Nicolaum Niuellium, ſub ſigno. Columnarum via Iacobæa.
CIƆ IƆ LXXXIII.
Cum Priuilegio Regis.

PRÆFATIO

AD NOBILISSIMVM VIRVM D. FRANCISCVM *Rupifucaldium, Randanum, Trenorchij abbatem.*

Meministi, arbitror, FRANCISCE NOBILISSIME, quo tépore tu, fratrésque tui in scholis versaremini, egóq; studijs vestris præessem, monuisse me sæpissime, poëtas scriptorū genus esse nō solùm antiquissimum; sed præstantissimum etiam atque suauissimum. Quorum quidem alterum ita omnibus notum est, vt nihil quicquam habeat dubitationis. De altero verò etsi controuersia remansit aliqua: non dubito tamen, propter ingenij, iudicijque

tui magnitudinem, quin idem mecum per te, ex græca præsertim lectione, qua maximè delectaris, postea deprehenderis. Quem enim non in eam sententiam pertrahat diuini Platonis autoritas, vbi παλαιοὺς κρείττονας ἄμα, καὶ ἐγγυτέρω θεῶν γεγονέναι asserit? At istud etiam vel natura duce tantùm, nemini dubium esse queat; nisi qui deprauato gustu, riuis potiùs quàm longissimè à suo capite distanribus, quàm fonte ipso delectetur. Eo præterea in poëtas, præsertim veteres, animo semper fui, vt ἄμουσόν τε, καὶ ἄχαριν existere eum mihi facilè persuaderem, qui ab illis abhorreret; in quibus solis, siue res siue verba consideres, literarum delitias, & quasi condimentum haberi, quoties mihi de illis vobiscum sermo incidisset, affirmare non dubitarem. Quod si cuiquam iam videatur à ratione alienum; aduertat, quęso, Musas ipsas, earumque parentem Apollinem, poëtarum tantùm suscepisse patrocinium: siue quia

primi eas coluissent;siue etiam, quia scribendi ratione cæteris longè prę- stitissent. Cùm enim cultum eorum, qui bonorum omnium nobis autores fuerunt, sequi debeat grati non animi significatio; sed imitatio etiã, quantùm fas est mortalibus: qui melius id, quàm poëtæ ipsi, præstiterũt; qui primi ἀχαριστίας odium diuinis laudationibus professi sunt, quique diuinam benignitatem imitati, tam multa in omni scientiarum genere ad hominum vtilitatem posteris monimenta reliquerunt? Nihil enim in rerum natura vel dici, vel cogitari queat. quod nõ ita poëtæ imitati, assecutique sint; vt cum summis postea Philosophis præclarè agi visũ sit, si quę ipsi fusiùs, aut populariùs deinceps, alio orationis genere explicassent, eorumdem uersibus, tanquam oraculo aliquo, confirmarent. Hinc illa in philosophorum, oratorumque scriptis, poëtarum veterum, tanquam gemmæ in annulis, lectorum mentes in se

conuertentia teſtimonia. Ac ne quis laudem carminis ſummos viros, qui poëtas primos ſecuti ſunt, neglexiſſe exiſtimet: videat etiam nullum vſquam vel oratorem, vel philoſophum, vel legiſlatorem extitiſſe, qui in iſto ſcribendi genere nomen aliquod adipiſci nõ ſtuduerit. Addam etiam ita omnibus omni ętate venerandum ſtudij genus hoc fuiſſe: vt quæ à poëtis inuenta eſſent, atque literis prodita; id magni etiam philoſophi ſcriptis ſuis illuſtrare non erubeſcerent. Platonem dico, & Ariſtotelem, quorum commentarijs Homerum fuiſſe explicatum legimus; in quo ſcientiarum omnium atque artium principia contineri maiores noſtri voluerunt. Verùm, quia poëtarum genus eſt varium, quemadmodum & hominum: ὅσον ἀνὴρ ἀνδρὸς διαφέρῃ, tantùm certè & poëtæ. Atque vt eſt, omnium iudicio, præcipua hominis pars illa, quæ rationis capax eſt: ſic certè & poëtæ illi omnium præſtantiſſimi ſemper mihi

visi sunt, qui pietatis cultum, vitæque sanctimoniam docerent. Placet igitur hoc loco Orphei vetustissimi, atque sanctissimi, quem postea secutum esse Pythagoram, lib. I. de secta ipsius, testatur Iamblichus, parodica imitatione, quid ipse sententiam paucis significare.

Δέξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βεβήλοις

Πᾶσιν ὅμως. Nolo enim ad ista arcana, nisi pios, & castos, admitti. Cuius quidem generis cùm supersint adhuc non fragmenta modò varia, tanquam ex naufragio tabulæ; sed scripta etiam integra; quorum nominibus hoc loco abstinere, breuitatis ergô, visum est: pauca, iudicio meo, vel etiam nulla, reperias; quæ cum aureis Pythagoreorum versibus conferri possint. Vt enim nihil autore sectæ, totaque adeò Pythagoreorum schola, celebrius: sic certè nihil in hoc scribendi genere, præclarius, atque diuinius. Verùm quoniam ita natura comparatū

eſt, vt quæ pulcra, iuxta prouerbium, etiã difficilia exiſtant: quod his verſibus imprimis accidit, partim ſententiarum grauitate, partim etiam breuitate; qua maximè delectati videntur Pythagorici: effectum diuina prouidentia eſt, vt multis poſteà ſæculis ex Soticorum ſchola prodierit Hierocles, maximus ſanè, acutiſſimúſque philoſophus; qui eos nobis, ex Pythagoreorum ſenſu ita explicaret, vt nihil illis iam nec apertius, nec ad vitæ, morumq́ue rationem vtilius reperiatur. Nam præterquàm quòd vnicum hoc ſcriptum extare videtur, à quo vera Pythagoreorum carminum explicatio peti queat: præter id etiam, quòd multa ſectæ huius, atque Stoicæ, ex profeſſo dogmata continet, quæ in cæteris aliorum monimentis, ὡς ἐν παρόδῳ vix indicantur: & hoc quoque doctorum multorum iudicio, quibus ipſum videre contigit, affirmare non vereor; nullum prophani nominis autorem luce donatum adhuc, quod ſciam,

qui tam multa de moribus, de prouidentia, similibúsque rebus, more nostro, id est Christiano, hostis alioqui nominis hu⁹ acerrimus, tã benè, tamque apertè disseruerit. Immò non sine diuina prouidentia effectum arbitror, vt infelici nostro sæculo, in quo, post oppugnatam veræ religionis, atque morum, disciplinam, Deus ipse à multis non obscurè petitur; libellus iste in lucem prodiret; qui philosophicis rationibus ab illis id extorqueret (nisi hominis naturam planè exuerint) quod diuini verbi autoritas persuadere non potuit. Quòd si quis prophanas etiam opiniones, & à fide Christiana abhorrentes, continere asserat: & id me etiam in ipso, Pythagoreísque versibus agnoscere, atque monere cęteros, mei esse officij libens admitto: neque tamen tam rigidum me esse debere, vt grauissimos philosophos suam sectæ constantiam, atque personam; quam assumpserint, tueri non patiar; cùm nihil iam

ab eiuſmodi eorum ridiculis, obſoletíſque opinionibus Chriſtianis immineat periculi: alioquin enim reiiciendam eſſe omnem penitus humaniorum literarum non Græcam modò, ſed Latinam etiam antiquitatem; quæ permultis in rebus Chriſtianæ veritati vtiliſſimè famulatur. Sed eſt fortaſſe quiddam aliud, quod à me iuniores æquius poſtulare videantur: annotationes nimirum aliquas, quibus interpretationis huius ratio, Hieroclíſque ſenſus quibuſdam locis manifeſtior habeatur: quod certè præclaro illo bibliothecæ tuę manu ſcripto codice adiutus, quod Iamblichi lib. IIII. de vita & ſecta Pythagoræ continet, efficere ſtatueram; ſi per otium & valitudinem licuiſſet. Habet enim liber ille non tantùm propriam verſuum iſtorum, atque ſymbolorum Pythagoræ, explicationem; ſed multa huius ſectæ & argumenti alia, quibus explicatior, & clarior, noſter fiat Hierocles; quod altera me

editione, qui huius rei ſyluam in aduerſarijs congeſtam magna ex parte habeam, σὺν θεῷ facturum ſpero. Supereſt iam, FRANCISCE NOBILISS. vt tibi primùm, Fratríque tuo, Italicę profectionis nomine gratuler; quam verè vobis ad mercaturam bonarum artium ſuſceptam fuiſſe teſtantur non ſolùm pręclaræ animi, ingeniíque veſtri dotes; ſed ingens ille Græcorum voluminum theſaurus, ad nominis etiam, generíſque veſtri perpetuam memoriam, reíque literariæ vtilitatem, magno labore, magníſque ſumptibus à vobis comparatus: deinde, vt horter etiam, ne tantam tibi laudem, tuíſque, quę ex eorum emiſſione ſequitur, inuideas: ſed Hieroclem quoque audias; qui primus tenebris ereptus, atque de cæterorum ſalute ſollicitus, tuum ſupplex eorum nomine aduerſus ſitum, & tineas, quibus præclara multorum ſcripta perierunt, auxilium implorat.

ΤΑ ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ
ἔπη τὰ χρυσᾶ.

Ἀθανάτους μὲν πρῶτα θεοὺς νόμῳ, ὡς διάκεινται,
Τίμα· καὶ σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων.
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας·
Τῶν δ' ἄλλων ἀρετῇ ποιοῦ φίλον, ὅστις ἄριστος.
Πρᾳέσι δ' εἶκε λόγοις, ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς.
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι. κρατεῖν δὲ εἰθίζεο τῶνδε·
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ. πάντων δὲ μάλιστα αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε, λόγῳ τε,
Μή δ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι·
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.

AVREA PYTHAGOREORVM
Carmina.

Ioan. Curterio interprete.

PRimùm immortales Diuos *pro lege colunto.*
*Et iusiurandum.*Heroas, *clarũ genus, inde.*
D*æmones hinc terris mixti sua iura ferũto.*
Inde parentis honos sequitor: tum sanguinis ordo.
Pòst alij sunto, virtus vt maxima, amici.
Vtilibus factis cedas, verbísque modestis.
Nec lapsus paruo cõtemnas crimine amicũ:
Quod potes. Est quoniã fato vicina potestas.
Illa quidem teneas: sed & hæc compescere disce:
Imprimis ventrem, somnum, veneremque: deinde
Irã. Nec *quidquã socijs aut testibus, aut te*
Solo, turpe geras. Sũmus pudor ipse tibi sis.
Iura colas nõ ore tenus; sed rebus & ipsis.
Nec prauis mentem suescas rationibus vti:
Sed mortem fato subituros noueris omnes.
Diuitias quandoq; dari; quandoq; perire.

Ὅσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε δὲ φράζου·
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε, καὶ ἐσθλοὶ
Προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
Εἴργεσθαι σαυτόν. ψεῦδος δ' ἢν περ τι λέγηται,
Πράως εἶχ'. ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω.
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
Πρῆξαι, μηδ' εἰπεῖν, ὅ τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε, λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι· ἀλλὰ διδάσκευ
Ὅσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
Ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε,
Ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσει.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον.

Mortales quaecunq; Deis mittẽtibus angũt;
Vt tua fors tulerit, patiens ne ferre recuses.
Nec spernenda medela tamen. Sed noris & istud,
Parcius ista viris immittere numina iustis.
Multus saepe hominum sermo prauúsque, bonúsque
Excidit. At terrere te nihil: nec vertier illo
Tete permittas. Sin falsum dicat: id aequo
Sperne animo. serues sed hoc, quod dixero, semper:
Ne tibi vel verbo quisquam malè suaserit, aut re,
Vt facias, dicás ve, nocens quo tu tibi fias.
Consilium praecedat opus; ne absurda sequantur.
Est miseri quod quis stultè loquitúrque, facitque.
Effice quĩ poti⁹ nequeãt quae facta dolere
Nec tu quod nescis gerito: sed discere cura
Quae fas. periucũda tibi sic vita futura est.
Corporis haud spernenda iuuat quae commoda cura.
Sed potúsque, cibiq. mod⁹ sit, & exercẽdi.
Ipse modũ statuo, qui te non laeserit ipsum.
Sit mũdus victus: sit lux⁹ sed tamẽ exsors.

Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων.
Μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ', ἅ σε μὴ βλάψῃ· λόγισαι δὲ πρὸ ἔργου.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
Δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ, τέρπου.
Ταῦτα πόνει. ταῦτ' ἐκμελέτα. τούτων χρὴ ἐρᾶν σε.
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν,
Παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον
Θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας
Γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.
Γνώσῃ δ', ᾗ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην·
Ὥστε σε μήτ' ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας,
Τλήμονας, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν,
Οὔτε κλύουσι, λύσιν δὲ κακῶν παῦροι συνίσασι.

Quæcũque inuidiã pariũt, vitãda putato.
Et sumptus vanos, recti quos nescius audet:
Et sordes. Præstat quauis mod⁹ optim⁹ in re.
Fac quæ non lædãt: cõsulto resque geratur.
Mollia nec prius admittant tibi lumina somnum,
Exactæ quàm ter reputaris cuncta diei:
Quæ prætergressus? quæ gessi? quæ malè omisi?
Singula percurrẽs à primo facta, quibus tu
Vel prauis doleas: capias vel gaudia iustis.
Hæc facito. hæc satage. istorum tibi cura geratur.
Hæc te virtutis diuinæ ad limina sistent.
Iuro te, qui nos docuisti tetrada, fontem
Naturæ æternũ. Finem dein antè precatus
Numina, op⁹ facito. Quæ tu si gesseris, idẽ
Noris qua cõstẽt natura hominéq; deique.
Sĩgula quò pergãt, sistẽt quò singula rursũ.
Noueris & mundi naturã, qua pote, eandẽ:
Vt te nec spes vana angat, lateant quoque nulla.
Noris mortales sponte in sua damna ruẽtes:
Infelix stultúmque genus: quod commoda præsens
Non oculis, nõ aure capit, raróq. medetur.

Τοίη μοῖρα βροτῶν βλάπτει φρένας. οἱ δὲ κυλίνδροις
Αλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
Σύμφυτος· ἣν οὐ δεῖ προάγειν· εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἢ πολλῶν τε κακῶν λύσειας ἅπαντας·
Η πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Αλλὰ σὺ θάρσει· ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα·
Ων εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω·
Εξακέσας ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Αλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Εν τε λύσει ψυχῆς κρίνων. καὶ φράζευ ἕκαστα
Ηνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ην δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς·
Εσσεαι ἀθάνατος θεός, ἄμβροτος, οὐκ ἔτι θνητός·

Sic miseris fors mẽtẽ agitat, variisq; cylĩdris
Huc illuc rotat, immensis versatq; periclis.
Hoc comes improuisa ciet cõtentio damnũ
Insita: cui certare nefas, sed cedere pulcrũ.
Iupiter alme, malis iubeas vel soluier oẽs:
Omnibus vtantur vel quónam dæmone monstra.
At confide: hominũ diuina est stirpis origo,
Sacra quibus natura fauens hæc singula pandit.
Quæ si tu teneas; dictis potieris & ipse;
Purgatũq. animũ damnis seruabis ab istis.
Sperne cibos cautus, veluti purgamina monstrans,
Atque animum soluens dixi. tum singula pensans,
Aurigæ menti cedas quas tractet habenas.
Sic vbi deposito vacuus te ceperit æther
Corpore, viuus ages semper, semperque beatus.

Ἐκ τῆς Σουΐδα.

ΙΕΡΟΚΛΗΣ ΦΙΛΟΣΟΦΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ.

ΟΥΤΟΣ μετὰ τοῦ ἀτρέπτου, καὶ μεγαλοπρεποῦς, εὔρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν, καὶ διαφέρων εὐγλωττίᾳ, καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων, κατέπληττε πανταχοῦ τοὺς ἀκροωμένους. τοῦ δὲ αὐτοῦ καὶ μαθητὴς Θεοσέβιος, ἀνὴρ, εἴπερ τις ἕτερος, ὧν ἡμεῖς ἴσμεν, εἰωθὼς ἀποβλέπειν ἐς τὰ τῶν ἀνθρώπων

ψυχάς. ἔλεγε γὰρ ὁ αὐτὸς Θεοσέβιος, ἐξηγούμενον φάναι ποτὲ τὸν Ἱεροκλέα κύβοις ἐοικέναι τοὺς τοῦ Σωκράτους λόγους. ἀπλάστας γὰρ εἶναι πανταχοῦ, ὅπου ἂν πέσωσι. τοῦ δὲ Ἱεροκλέους τὸ ἀνδρεῖον καὶ μεγαλόθυμον ἦθος ἀπέδειξεν ἡ συμβᾶσα τύχη περὶ αὐτόν. εἰς γὰρ τὸ Βυζάντιον ἀνελθὼν, προσέκρουσε τοῖς κρατοῦσι, καὶ εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς ἐξ ἀνθρώπων πληγάς. ῥεόμενος δὲ τῷ αἵματι, βλάψας κοίλην τὴν χεῖρα, προσραίνει τὸν δικαστὴν ἅμα λέγων·

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες
ἀνδρόμεα κρέα.

Φυγὴν δὲ καταχριθεὶς, καὶ ἐπανελθὼν χρόνῳ ὕστερον εἰς Ἀλεξάνδρειαν, συ-

νε φιλοσόφως τὰ εἰωθότα τοῖς πλησιάζουσιν· ἔξεστι δὲ μαθεῖν τὴν Ἱεροκλέους μεγαλογνώμονα φρόνησιν ἀπὸ τῶν συγγραμμάτων, ὧν ἔγραφεν εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων [2] βιβλίων, καὶ περὶ προνοίας, [3] ἐν ἑτέροις βιβλίοις συχνοῖς, ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν [4] οὐκ ἀκριβής.

1. *ſcribo* ἀπανθρώποις. 2 καὶ βιβλίων περὶ. 3 *addo* καί. 4 *tollo* οὐκ.

Ex Suida.

HIEROCLES PHILOSOPHVS ALEXANDRINVS.

HVic, ad conſtantiam & grauitatem, ingenij vbertas tanta acceſſit, itaque linguę prę-

ſtantia, nominúmque optimorum, atque verborum copia excelluit, vt omnes vbique auditores in ſui admirationem raperet. Fuit verò ipſi etiam diſcipulus nomine Theoſebius, vir, ſi quiſquam alius, quos ipſi nouimus, in hominum animos acie mentis penetrare ſolitus. Aiebat enim idẽ Theoſebius, Hieroclem aliquando inter narrandum dixiſſe, Socratis ſermones ſimiles eſſe teſſeris. Stare enim ſemper erectas, vtcunq; cadant. Hieroclis autem fortitudinem, animíque robur, ea calamitas oſtendit, in quam incidit. Byzantium enim profectus, cùm in procerum offenſionem incurriſſet, in iudicium pertractus, plagíſque crudeliſſimè acceptus fuit. Cùm autem manan-

tem ex eis cruorem caua manu excepiſſet, eo iudicem aſpergens ſimul addidit:

Cyclops, en vinum. humanas iam deſere carnes.

Exilio porrò damnatus, & Alexandriam poſteà reuerſus, ſolito more cum diſcipulis philoſophatus eſt. Licet verò ſcientiæ eius, atque iudicij magnitudinem ex ijs colligere, quæ ſcripſit in Pythagoreorum verſus aureos: de prouidentia: libríſque multis alijs: ex quibus apparet hominem vita quidem ſublimem fuiſſe: ſcientia verò accurata.

DE HIE-

DE HIEROCLIS IN PYTHAGORICA CARMINA Commentario, per IOAN. CVRTERIVM vtraque lingua in lucem prodeunte.

AETHALIDES fuerat qui priſco tempore primùm;
Troiano bello poſtea Panthoïdes;
Deinceps Hermotimus; poſt Pyrrhus; denique magnus
Pythagoras, Samij gloria magna ſoli:
Credo equidẽ verſa, lõgo poſt tẽpore, ſorte,
Hieroclem factum: nec mea vana fides.
Abſtruſos ſophiæ nam ſenſus Pythagoreæ
Tã bene perſpexit, quã bene Pythagoras.
Plurima ſed poſtquã latuiſſet ſæcula; tãdẽ
Emerſit, factus denique Curterius.
Nã quòd Hieroclẽ myſteria maxima, ſacris
Pythagoræorum condita carminibus,
Hic gemino ore vides, manifeſta luce, loquentem:
Vni hæc debetur gloria Curterio.

NICOL. MORELETVS.

ΙΕΡΟΚΛΕΟΥΣ ΦΙΛΟΣΟΦΟΥ ΕΙΣ τὰ Πυθαγόρεια ἔπη ὑπόμνημα.

Φιλοσοφία ἐστὶ ζωῆς ἀνθρωπίνης κάθαρσις, καὶ τελειότης. κάθαρσις μὲν, ἀπὸ τῆς ὑλικῆς ἀλογίας, καὶ τοῦ θνητοειδοῦς σώματος· τελειότης δὲ, τῆς οἰκείας εὐζωΐας ἀνάληψις, πρὸς τὴν θείαν ὁμοίωσιν ἐπανάγουσα. Ταῦτα δὲ πέφυκεν ἀρετὴ καὶ ἀλήθεια μάλιστα ἀπεργάζεσθαι· ἡ μὲν, τὴν ἀμετρίαν τῶν παθῶν ἐξορίζουσα· ἡ δὲ, τὸ θεῖον εἶδος, εὐφυῶς ἔχουσα, προσκτωμένη. Δεῖ οὖν πρὸς ταύτην τὴν ἐπιστήμην τὴν μέλλουσαν ἡμᾶς καθαροὺς, καὶ τελείους ποιεῖν, κανόνας ἔχειν τινὰς ἐν βραχεῖ διωρισμένους, οἷον ἀφορισμούς τινας τεχνικούς,

HIEROCLIS

PHILOSOPHI IN carmina Pythagorica commentarius.

Ioan. Curterio interprete.

PHilosophia est vitæ humanæ purgatio, atque perfectio. purgatio quidem, cùm fæce rationi contraria, mortalíque corpore liberat. perfectio verò, cùm suæ vitæ recuperata præstantia, ad diuinam similitudinem reducit. Quæ duo quoniam virtute & veritate fieri maximè natura comparatum est: earum illa quidem tollit perturbationum intemperiem: ista autem diuinam formam, si rectè se habeat, inducit. Decet igitur ad scientiam istam, quæ puros, atque perfectos nos efficiat, regulas habere aliquas paucis comprehensas, velut artificiosas quasdam sententias,

vt ordine, viáque facili ad beatæ vitæ finē perueniamus. Sunt verò inter regulas eiusmodi, quæ ad vniuersam philosophiam conferunt, in primis habenda, iudicio nostro, PYTHAGORICA CARMINA, quæ AVREA verè nuncupantur. Continent enim totius Philosophiæ, quæ in agendo, & quæ in contemplando versatur, decreta summa; quibus non solùm veritatem atque virtutem sibi quisque comparet, sed purus etiam, Deóque similis facilè efficiatur: atque (vt ait Platonis Timæus Pythagoricam disciplinam professus accuratè) & sanus, & integer ad prioris habitus formam perueniat. Orditur porrò ab eius virtutis præceptionibus, quæ est in agendo posita. Primùm enim perturbatio, & ignauia, quæ in nobis existunt, regenda sunt: atque ita diuiniorum rerum cognitioni incumbendum. Vt enim lippitudine laboranti oculo, nec purgato, quæ valde lucida sunt, videri non possunt: ita nec animo virtute carenti cernitur veritatis pulchritudo. Est enim impuro, quod purum est, nefas attingere. Parit verò philosophia, quæ versatur in agendo, virtutem quidem ipsam; virtutem autem, quæ in contemplando. quo fit, vt in versibus ipsis illam

ὅπως ἐν τάξει, καὶ εὐμεθόδως, πρὸς τὸ τῆς εὐζωΐας τέλος ἀφικοίμεθα. τὴν δὲ τῶν τοιούτων κανόνων, τῶν πρὸς τὴν ὅλην φιλοσοφίαν συντεινόντων, τὰ ΠΥΘΑΓΟΡΙΚΑ ΕΠΗ, τὰ * οὕτως ἐπικαλούμενα ΧΡΥΣΑ, ἐν προτέροις ἂν θείημεν εὐλόγως· περιέχει γὰρ πάσης φιλοσοφίας πρακτικῆς, καὶ θεωρητικῆς, τὰ καθόλου δόγματα, δι' ὧν αὖθις ἀλήθειαν καὶ ἀρετὴν κτήσαιτο, καὶ ἑαυτὸν καθαρὸν ἀπολαύοι, καὶ τὴν πρὸς θεὸν ὁμοίωσιν εὐτυχήσειε, καὶ (ὥς φησιν ὁ Πλάτωνος Τίμαιος, τῶν ΠΥΘΑΓΟΡΕΙΩΝ δογμάτων ὁ ἀκριβὴς διδάσκαλος) * ὑγιήσει, καὶ ὁλόκληρος γενόμενος εἰς τὸ τῆς προτέρας ἀφίκοιτο εἶδος ἕξεως. Καὶ πρῶτά γε τὰ τῆς πρακτικῆς ἀρετῆς παρατίθεται παραγγέλματα. πρῶτον γὰρ δεῖ τάξαι τὴν ἐν ἡμῖν ἀλογίαν τε, καὶ ῥαθυμίαν· ἔπειτα οὕτως ἐπιβάλλειν τῇ τῶν θειοτέρων γνώσει. ὥσπερ γὰρ ὀφθαλμῷ λημῶντι, καὶ οὐ κεκαθαρμένῳ τὰ σφόδρα φωτεινὰ ἰδεῖν οὐχ οἷόν τε· οὕτως τῇ ψυχῇ μὴ ἀρετὴν κεκτημένῃ τὸ τῆς ἀληθείας ἐνοπτεύσασθαι κάλλος. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. ἔστι δὲ ἡ μὲν πρακτικὴ φιλοσοφία ἀρετῆς ποιητική· ἀληθείας * ὡς καὶ ἐν αὐτοῖς τοῖς ἔπεσι τὴν μὲν πρακτικὴν φιλοσοφίαν, ἀνθρωπίνην ἀρετὴν

* γρ. ὄντως

* ἄλλως ὑγιής τε

* δὲ θεωρητική.

διείσκομεν λεγομένην· τὴν δὲ θεωρητικὴν, θείαν ἀρετὴν ὑμνουμένην, ἐν οἷς συμπεραίνας ὁ λόγος τὰ τῆς πολιτικῆς ἀρετῆς παραγγέλματα,

Ταῦτα πόνει. (φησὶ) ταῦτ᾽ ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε.

Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.

χ' πρῶτον οὖν ἄνθρωπον δεῖ γενέσθαι, καὶ τότε
ἀγα- θεόν. ἄνθρωπον μὲν ποιοῦσιν ἀγαθὸν αἱ πολιτικαὶ
θόν ἀρεταί· θεοποιοῦσι δὲ αἱ πρὸς τὴν θείαν ἀρετὴν ἀνάγουσαι ἐπιστῆμαι. τὰ δὲ μικρὰ πρὸ τῶν μεγάλων ἐστὶν ἐν τάξει τοῖς αἰνοῦσι. διὸ καὶ ἐν ταῖς πυθαγορικαῖς ὑποθήκαις, τὰ τῶν ἀρετῶν παραγγέλματα πρῶτα παραδίδωσιν ἐν τοῖς ἔπεσιν ὁ λόγος, παιδαγωγῶν ἡμᾶς ἀπὸ τῆς περὶ τὸν βίον μεγίστης χρήσεως πρὸς τὴν θείαν ὁμοίωσιν ἀνιέναι. Καὶ οὗτος μὲν ὁ σκοπὸς τῶν ἐπῶν, καὶ ἡ τάξις, χαρακτῆρα φιλόσοφον πρὸ τῶν ἄλλων ἀναγνωσμάτων ἐνθεῖναι τοῖς ἀκροαταῖς.

χ' ἴδια, ΧΡΥΣΑ δὲ τὴν ἐπωνυμίαν ἔχει, διὰ τὸ, ὡς ἐν ἔπεσιν, ἄριστα εἶναι, καὶ θεῖα. οὕτω γὰρ καὶ ΧΡΥΣΟΥΝ γένος λέγομεν τὸ ἐν τοῖς ἀνθρωπίνοις γένεσιν ἄριστον, ἀπὸ τῆς τῶν ὑλῶν ἀναλογίας τὴν διαφορὰν τῶν ἠθῶν λαμβάνοντες. ἔστι δὲ καὶ ὁ χρυσὸς ἀκίβδηλόν τι, καὶ γῆς οὐκ ἀναπεπλησμένον, ὥσπερ τὰ συγγενῆ, καὶ ἐφεξῆς ὄντα τούτῳ·

nominari humanam; hanc autem diuinitatis nomine celebrari reperiamus, vbi de ciuili virtute hoc modo præcipere desinit;

> Hæc facito; hæc satage; istorum tibi cura geratur.
> Hæc te virtutis diuæ in vestigia sistent.

Primùm igitur probum fieri oportet; indéque Deum. hominem verò probum efficiunt virtutes illę, quę ciuiles existūt: Deū autem disciplinæ, quę ad diuinam virtutem euehunt. Quia deinde ijs, qui ascendere cupiunt, ordine magna pręcedūt quæ parua sunt: ideo in Pythagoricis pręceptis ea pręmittuntur, quę de virtutibus pręcipiuntur; vt nos ab vsu, qui summus in vita est, ad diuinam similitudinem doceant ascendere. Et hic quidem versuum scopus est, atque ordo; vt philosophi characterē ante alias persuasiones imprimāt auditoribus. AVREORVM autē ideo retinēt appellationem, quòd in suo genere optimi sint, atq; diuini. Sic enim & AVREVM sæculum dicimus, quod in hominum ętatibus fuit optimum; morū differentiam à metallorum proprietate sumentes. Est verò & AVRVM ipsum purum quid, nec terræ quicquam habens commixtum: vt quę ipsi cognata, adeóque etiam inferiora,

argentum, æs, ferrum: inter quę & AVRVM ipsum ideò natura principatum obtinet, quòd nũquam, vt cætera, rubiginem contrahat; cùm eorum singula eam ita patiantur, vt terram participant. Rubigine ergo, quę terrena est, cum vitiorum fæce comparata; quod sanctum, purúmque sęculum extitit, ipsique adeò mores malitię penitus expertes, AVREA iure nuncupata sunt. Sic certè & versus isti omnes, toti penitus pulchri, & boni, AVREORVM, diuinorúmque appellationem sortiti sunt. Neque enim inter eos existunt boni quidem alij, alij verò non boni, quod nonnullis alijs in rebus experimur: sed omnes similiter morum puritatem explicant, & ad diuinam similitudinem deducunt, PYTHAGORICAE QVE, philosophiæ finem perfectissimum ostendunt; vt in singulorum explicatione patebit: quam statim à primis ordiemur.

ὅ τε ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος, πρὸς ἃ καὶ τὸ ὑπερέχον φύσει κέκληται ὁ ΧΡΥΣΟΣ μόνος τῶν ἄλλων ἰὸν οὐ ποιῶν, ἐκείνων ἑκάστου, καθ' ὅσον γῆς μετέχει, κατὰ τοσοῦτον καὶ εἰς ἰὸν μεταβάλλοντος. τῆς οὖν γεώδους ἰοῦ κατὰ τὴν ἔνυλον κακίαν λαμβανομένου, τὸ ἅγιον καὶ καθαρὸν γένος, καὶ τὸ πάντῃ καθαρεῦον πονηρίας ἦθος, εἰκότως ΧΡΥΣΟΥΝ ἐλέχθη· οὕτω δὴ καὶ πάντα τὰ ἔπη, ὅλα δι' ὅλων ὄντα καλὰ, ΧΡΥΣΑ, ὡς θεῖα τὴν ἐπίκλησιν ἀναγέγραπται. οὐ γάρ ἐστιν τὸ μὲν αὐτῶν καλὸν, τὸ δὲ οὐ καλὸν, ὥσπερ ἔνια τῶν ἄλλων. ἀλλὰ πάντα ὁμοίως τὸ καθαρὸν ἦθος ἐμφαίνει, καὶ πρὸς τὴν θείαν ὁμοίωσιν ἀνάγει, καὶ τῆς ΠΥΘΑΓΟΡΙΚΗΣ φιλοσοφίας τὸν τελειότατον σκοπὸν ἐκκαλύπτει· ὡς ἐν τῇ καθ' ἕκαστον ἐξηγήσει σαφὲς γενήσεται· καὶ πρῶτόν γε ἀπὸ τῶν πρώτων ἀρξώμεθα.

ΑΘΑΝΑΤΟΥΣ ΜΕΝ ΠΡΩΤΑ ΘΕΟΥΣ, ΝΟΜΩ ΩΣ ΔΙΑΚΕΙΝΤΑΙ, [2] ΤΙΜΑ.

Ἐπειδὴ πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια πρὸς τὴν θείαν αἰτίαν τὴν διαφορὰν ἔχουσα, εἰκότως καὶ τὸ ἐν τοῖς ἔπεσι ΝΟΜΩΝ τὸ περὶ ταύτης ἡγεῖται παράγγελμα· ὡς δέοι τοὺς ἐγκοσμίους θεοὺς, κατὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς τάξιν, ΤΙΜΑΝ, ἣν ὁ δημιουργικὸς ΝΟΜΟΣ ἅμα τῇ οὐσίᾳ αὐτῶν συμπροήγαγε, τάξας αὐτῶν τοὺς μὲν ἐπὶ τῆς πρώτης σφαίρας, τοὺς δὲ ἐπὶ τῆς δευτέρας, καὶ ἐπὶ τῆς τρίτης ἄλλους· καὶ οὕτως ἐφεξῆς, μέχρι τῆς πάσης τῶν οὐρανίων κύκλων συμπληρώσεως. τὸ γὰρ ᾗ ἐτάχθησαν ὑπὸ τοῦ ποιητοῦ αὐτῶν, καὶ πατρὸς, ταύτῃ αὐτοὺς ἐγνωκέναι τε, καὶ τιμᾶν, τῷ θείῳ ΝΟΜΩ "κατακολουθούντων ἐστὶ, καὶ τὴν ὄντως ΤΙΜΗΝ αὐτοῖς ··ἀποδιδόντων, καὶ μήτε ὑπεραίρειν τὴν ἀξίαν, μήτε ἀπολείπεσθαι ταύτης ἐν ταῖς περὶ αὐτῶν ἐννοίαις· ἀλλὰ καὶ τοῦτο αὐτοὺς εἶναι ἡγεῖσθαι, ὃ γεγόνασι, καὶ ταύτην ἔχειν τὴν τάξιν, ἣν εἰλήχασιν, ·ἐπὶ τὸν δημιουργικὸν μόνον αὐτῶν θεὸν ἀναφέρειν τὸ σέβας, ὃν θεὸν θεῶν κυρίως ἂν εἴποι τις, καὶ θεὸν ὕπατον, καὶ ἄριστον. τὴν δὲ ὄντως ἀξίαν τοῦ κοσμοποιοῦ,

γρ. " κατακολουθεῖν

γρ. ·· ἀποδιδόναι,

γρ. · ἐπί τε

IMMORTALES PRIMVM DEOS, SICVTI LEGE DISPOSITI SVNT, [2]HONORA.

Primùm immortales Diuos pro lege colũto.

QVoniam virtutum omnium dux eſt pietas, quę ad diuinam cauſſam refertur; iure etiam in præceptis iſtis, quæ verſibus continentur, ab ea exordium ſumitur: vt doceatur, quo pacto DEOS, qui in mundo ſunt, COLERE oporteat, pro ratione ordinis, quem habent, ab opifice LEGE cum ſua ipſorum ſtatim eſſentia coniunctum, ex quo primæ quidem ſphæræ ab ea addicti alij, ordinatíque ſunt; alij autem ſecundæ; alij etiam tertiæ; & ita deinceps; donec cæleſtium circulorum numerus omnis compleretur. Eos enim ita agnoſcere, & COLERE, vt ſunt ab auctore ſuo, & parente, diſtincti; diuinæ LEGI obedire eſt, verúmque honorem ipſis tribuere; non autem eorum dignitatem ſupra modum attollere; aut eius aliquid, cùm de illis cogitamus, omittere: ſed eos etiam id eſſe credere, quod ſunt, & ordinẽ, quẽ adepti ſunt, retinere; ad eorum deniq; opificem vnicum (quem Deũ Deorum propriè, tanquam ſummũ, & optimum nominare queas) honorẽ referre. Verè autẽ

Dei, à quo mundus arte ſumma effectus eſt, dignitatem hac ſolùm ratione inuenerimus, ſi ipſum etiam cæterorum cauſſam exiſtere, & naturarum immutabilium, quę ſunt rationis participes, factorem ponamus. DEOS enim IMMORTALES carmen appellauit, eos, qui ſemper, atque eodem modo de Deo opifice cogitant: quíque ſemper ad eius bonum attenti, ab eodem, quod ſunt, nulla vel ſeparatione, vel mutatione, accipiant; tanquam ſint opificis cauſſæ imagines perturbationum atque vitiorũ expertes. Eſt enim Deo congruum ſui etiã imagines eiuſmodi producere; non omnes mutationib⁹, atq; perturbationib⁹ obnoxias, & quę in vitia prolabãtur; quales ipſi ſunt mortaliũ animi, naturarum vltimi, quę ratione vtũtur; quẽadmodũ & ipſi etiã IMMORTALES DII, de quibus nũc ſermo eſt, qui ſummi nuncupãtur. Neq; porrò, vt ab animis humanis diſtinguantur iſti, IMMORTALES DII nuncupantur; qui diuina beatitudine fruantur immortaliter, nec ſuæ vnquam eſſentiæ, paternæque bonitatis obliuiſcantur. Sed iſtis perturbationibus hominum ſubiacent animi; qui Deum quidem, ſuámq; ipſi dignitatem aliquãdo cogitent, atque complectantur; aliquando etiam eadem excidãt. Quò fit etiam, vt meritò mortales DII nuncupentur hominum animi, quòd moriantur aliquando, cùm diuinam

καὶ ἀριστοτέχνου θεοῦ μόνως ἂν ἐξεύροιμεν, εἰ καὶ ΘΕΩΝ αἴτιον αὐτόν, καὶ ἀτρέπτων λογικῶν οὐσιῶν ποιητὴν θησόμεθα. τούτους γὰρ νῦν ΑΘΑΝΑΤΟΥΣ ΘΕΟΥΣ ὠνόμασεν ὁ λόγος, τοὺς ἀεί, καὶ ὡσαύτως νοοῦντας τὸν δημιουργὸν θεόν, καὶ ἀεὶ πρὸς τὸ ἐκείνου ἀγαθὸν συντεταγμένους, καὶ ἀπ᾽ ἐκείνου τὸ εἶναι ἀμερίστως, καὶ ἀτρέπτως λαμβάνοντας, ὡς τῆς δημιουργικῆς αἰτίας αὐτοὺς ὄντας εἰκόνας ἀπαθεῖς, καὶ ἀκακώτους. ἔπρεπε γὰρ τῷ θεῷ, καὶ τοιαύτας ὑποστῆσαι ἑαυτοῦ εἰκόνας, καὶ μὴ πάσας τρεπτὰς καὶ ἐμπαθεῖς τῇ εἰς κακίαν ὑποφορᾷ· οἷαί εἰσιν αἱ ἀνθρώπιναι ψυχαί, τῶν λογικῶν φύσεων τὸ ἔσχατον οὖσαι γένος· ὥσπερ ἂν ἀκρότατον ἦν νῦν τὸ τῶν ΑΘΑΝΑΤΩΝ ΘΕΩΝ λεγόμενον γένος. καὶ μήτε πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρωπίνων ψυχῶν, ΑΘΑΝΑΤΟΙ ΘΕΟΙ οὗτοι ἐκλήθησαν, ὡς μὴ ἀποθνήσκοντες τὴν θείαν εὐζωΐαν, μηδὲ ἐν λήθῃ ποτὲ γινόμενοι, μήτε τῆς ἑαυτῶν οὐσίας, μήτε τῆς τοῦ πατρὸς ἀγαθότητος. τούτοις δὲ ἡ ἀνθρωπίνη ψυχὴ τοῖς πάθεσιν ὑπόκειται, ποτὲ μὲν νοοῦσα τὸν θεόν, καὶ τὴν ἑαυτῆς ἀξίαν ἀπολαμβάνουσα, ποτὲ δὲ τούτων ἀποπίπτουσα. Διὸ καὶ εἰκότως ΘΕΟΙ θνητοὶ λέγοιντο ἂν ἀνθρώπιναι ψυχαί, ὡς ἀποθνήσκουσαί ποτε τὴν θείαν

εὐζωΐαν τῇ ἀπὸ θεοῦ φυγῇ, καὶ ἀναβιωσκόμεναι αὐτὴν πάλιν τῇ πρὸς θεὸν ἐπιστροφῇ· καὶ οὕτω μὲν ζῶσαι τὸν θεῖον βίον, ἐκείνως δὲ ἀποθνήσκουσαι, ὡς οἷόν τε ἀθανάτῳ οὐσίᾳ θανάτου μοίρας μεταλαχεῖν, οὐ τῇ εἰς τὸ μὴ εἶναι ἐκβάσει, ἀλλὰ τῇ τοῦ εὖ εἶναι ἀποπτώσει. θάνατος γὰρ λογικῆς οὐσίας, ἀθεΐα καὶ ἄνοια, οἷς ἕπεται καὶ ἡ περὶ τὸν βίον ἄμετρος τῶν παθῶν ἐπανάστασις. ἐν γὰρ τῇ ἀγνοίᾳ τῶν κρειττόνων ἀνάγκη δουλεύειν τοῖς χείροσιν. ὧν ἐλευθεριάσαι ἄλλως οὐχ οἷόν τε, ἢ τῇ δι' ἀναμνήσεως εἰς νοῦν, καὶ θεὸν ἐπιστροφῇ. μεταξὺ δὲ τῶν οὕτω λεγομένων ΑΘΑΝΑΤΩΝ ΘΕΩΝ, καὶ τῶν θνητῶν, ὡς εἴπομεν, ΘΕΩΝ, ἀνάγκη γένος τι εἶναι τιμιώτερον μὲν ἀνθρώπου, καταδεέστερον δὲ θεοῦ, τῇ δι' ἑαυτοῦ μεσότητι τὰ πρὸς ἄλληλα συνάπτον, ὥστε τὸ πᾶν λογικῆς τῆς οὐσίας αὐτὸ ἑαυτῷ συνδεδέσθαι καλῶς. τοῦτο δὴ μέσον οὔτε παντελῆ ἄγνοιαν τοῦ θεοῦ ἴσχει ποτέ, οὔτε παντελῶς ἀκίνητον, καὶ ἀεὶ ὡσαύτως διαμένουσαν γνῶσιν· ἀλλ' ἀεὶ μὲν γινώσκει, ἄλλως δὲ καὶ ἄλλως ἐπιβάλλει, καὶ μᾶλλόν ἐστιν ὅτε, καὶ ἧττον. τῷ μὲν ἀεὶ γινώσκειν, ἀναβέβηκε τῆς ἀνθρωπίνου φύσεως. τῷ δὲ μὴ ἀτρέπτως μηδὲ ὡσαύτως τὸ μὴ γινώσκειν, ὑποβέβηκε τοῦ θείου, φύσει μέσον ὑπάρχον, καὶ οὔτε προκοπῇ βελτιωθὲν ἐξ ἀνθρώπου,

vitæ probitatem exuentes à Deo recedunt; aliquando etiam reuiuiſcant, cùm ad eundem reuertuntur: atque ita quidem viuere dicantur, cùm vitam diuinam degunt; & mori etiam, quãtùm poteſt immortalis natura mortalis eſſe conditionis particeps; non quòd exiſtere deſinat; ſed quòd vitæ pręſtantia exciderit. Eſt enim rationis participis naturæ mors diuinitatis priuatio, atque mentis; quam ſequitur in vita perturbationũ vehemens colluctatio. Cùm enim meliora ignorantur, deterioribus ſeruire neceſſe eſt; nec datur aliter inde ad libertatem tranſitus, quàm illa ad mentẽ, & Deum conuerſione, quę recordatione porrigitur. Inter DEOS autem, qui vocãtur IMMORTALES, & mortales; quos ita nominamus; ſpeciem quãdam homine quidem ſuperiorem, Deo autem inferiorẽ haberi neceſſum eſt; qua media ſic inter ſe cohęreant, vt integra natura, quę rationis eſt particeps, ipſa ſecũ rectè copuletur. Quod ergo eiuſmodi medium eſt, nec mera Dei ignoratione tenetur vnquã, nec immobilẽ omnino, atque eandẽ perpetuò eiuſdem habet notitiã: ſed ſemper quidẽ cognoſcit; aliàs autem atque aliàs adijcit; ídq; magis aliquãdo; aliquãdo etiã minùs. Et eo quidem ipſo, ꝙ intelligit ſemper, humanam naturã ſuperat: eo verò, quòd nõ abſq; mutatione, nec eadẽ perpetuò ratione; à diuina ſuperatur, medio loco natura ſubſiſtẽs, neque proficiẽdo homine

factum melius, neque negligentia ex Deo in medium ordinem delapsum. Prima enim quę sunt,& quę secunda,& quę tertia, Deus opifex produxit natura inter se differentia, non confusa inuicem; non virtutis, nõ vitij ratione ordinem mutantia: quippè quę re vera semper sint, & genere ex adiuncto illis ordine distincta, opificísque rationib⁹ analogicè collocata. Vt enim ibi prima,& media, atque etiam vltima absolutæ sapientiæ ordo possidet: (hoc enim ipso sapientia est, quod ordine, & perfectè, idipsum producit, quod facit: vnde inter se coire sapientiam, ordinem, atque perfectionem contingit.) sic certè & quę in hac vniuersitate ad primam Dei intelligẽtiam facta sunt, prima in mundo fuerint: media autem, quę ad mediam. quę autem ad finem intelligentiarum similitudine accedent, fuerint etiam in ijs, quæ ratione vtuntur, vltima. Est enim rationis capax ornatus omnis, cum innato sibi corpore corruptionis experte, Dei totius imago, qui condidit. Eius autem, quod ibi summum est, quæ in mundo prima existunt, imago pura, & integra. medij deinde, imago media; ea ipsa videlicet, quæ locum medium obtinent. Finis denique, Deitatis imago vltima; ea scilicet, quæ sunt in rationis participibus tertia atque postrema. Atque ex tribus istis quidem generibus quod primum est,

οὔτε ἀμαθείᾳ ὑποβὰν ἐκ θεοῦ εἰς τὴν μέσην
τάξιν. πρῶτα γὰρ, καὶ δεύτερα, καὶ τρίτα ὁ
δημιουργὸς θεὸς ὑπέστησε, φύσει διαφέρον-
τα ἀλλήλων, καὶ μὴ συγχεόμενα πρὸς ἄλλη-
λα, μηδὲ ἀρετῇ καὶ κακίᾳ τὴν τάξιν δια-
μείβοντα· ἃ δὴ κατ' οὐσίαν ἑστῶτα ἀϊδίως,
τῇ συμπροσελθούσῃ αὐτοῖς τάξει κατὰ γένος χέ
διέστη, καὶ ταῖς δημιουργικαῖς αἰτίαις ἀνά- ἀναλό-
λογον ἐτάχθη. ὡς γὰρ ἐκεῖ πρῶτα, καὶ γως
μέσα, καὶ ἔσχατα τῆς παντελείου σοφίας ἡ
τάξις ἔχει· (τοῦτο γάρ ἐστιν αὐτῇ καὶ τὸ εἶναι σο-
φίᾳ, τὸ ἐν τάξει καὶ τελειότητι προάγειν
τὴν ποίησιν· ὥστε συνυφεστάναι ἀλλήλαις σο-
φίαν, καὶ τάξιν, καὶ τελειότητα.) οὕτω δὴ καὶ
ἐν τῷδε τῷ παντὶ τὰ πρὸς τὴν πρώτην νόη-
σιν τοῦ θεοῦ γενόμενα, πρῶτα ἂν εἴη ἐν κόσμῳ·
τὰ δὲ πρὸς τὴν μέσην, καὶ τὰ μέσα· καὶ τὰ τῷ
πέρατι τῶν νοήσεων ἐοικότα, τελευταῖα ἂν εἴη
ἐν λογικοῖς. ἔστι γὰρ πᾶς μὲν ὁ λογικὸς διάκο-
σμος μετὰ τοῦ συμπεφυκότος αὐτῷ ἀφθάρτου
σώματος, εἰκὼν ὅλου τοῦ δημιουργοῦ θεοῦ. τῆς
δὲ ἐκεῖ ἀκρότητος, τὰ ἐν κόσμῳ πρῶτα ἀκή-
ρατος εἰκών. καὶ τῆς ἐκεῖ μεσότητος εἰκὼν μέ-
ση, τὰ ἐνταῦθα μέσα. καὶ τοῦ πέρατος τῆς ἐκεῖ
θεότητος τελευταία εἰκὼν, τὰ ἐν λογικοῖς τρί-
τα, καὶ ἔσχατα. τούτων δὲ τῶν τριῶν γενῶν τὸ μὲν

ΓΡΩΤΟΝ ΑΘΑΝΑΤΟΥΣ ΘΕΟΥΣ ὁ παρὼν λόγος ἐσήμανε. τὸ δὲ μέσον, ΗΡΩΑΣ ΑΓΑΥΟΥΣ. καὶ τὸ ἔσχατον, ΔΑΙΜΟΝΑΣ ΚΑΤΑΧΘΟΝΙΟΥΣ, ὡς μικρὸν ὕστερον εἰσόμεθα. νῦν δὲ ἐπὶ τὰ προκείμενα πάλιν ἐπανέλθωμεν. Τίς ὁ ΝΟΜΟΣ, καὶ ἡ κατὰ τοῦτον τάξις; καὶ ἡ πρὸς τὴν τάξιν ἀποδιδομένη ΤΙΜΗ; ΝΟΜΟΣ μὲν, ὁ δημιουργικὸς νοῦς, καὶ ἡ θεία βούλησις, ἡ ἀϊδίως παράγουσα τὰ πάντα, καὶ εἰς ἀεὶ διασώζουσα. τάξις δὲ ΕΝΝΟΜΟΣ, ἡ ἀπὸ τοῦ πατρὸς τῶν ὅλων, καὶ δημιουργοῦ, τοῖς ΑΘΑΝΑΤΟΙΣ ΘΕΟΙΣ ἐπεισελθοῦσα, καὶ ποιοῦσα ἐν αὐτοῖς τοὺς μὲν πρώτους, τοὺς δὲ δευτέρους. εἰ γὰρ καὶ, ὡς ἐν παντὶ λογικῷ διακόσμῳ, τὴν ἀκρότητα ἔλαχον, ὅμως ἐν ἑαυτοῖς ποικίλλονται, καὶ εἰσὶν ἄλλοι ἄλλων θειότεροι. μήνυμα δὲ τῆς κατ' οὐσίαν αὐτῶν ὑπεροχῆς τε, καὶ * ὑπερβάσεως, ἡ τῶν οὐρανίων σφαιρῶν τάξις, κατ' οὐσίαν, καὶ δύναμιν τὴν θέσιν διαλαχοῦσα, ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν κεῖσθαι τὸν ΝΟΜΟΝ, καὶ τὴν τάξιν ὁμοφυῆ εἶναι αὐτῶν τῇ '' ἀταξίᾳ. οὐ γὰρ, ὡς ἔτυχεν ὑποστάντες, ὕστερον διεκρίθησαν, ἀλλὰ τεταγμένοι προῆλθον εἰς τὸ εἶναι, ὥσπερ ἐνὶ ζώῳ τῷ ὅλῳ οὐρανῷ διάφορα ὄντες μέρη, καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ἐν τῇ καθ' εἶδος

* γρ. ὑποβάσεως,

'' γρ. εὐταξίᾳ.

DEOS IMMORTALES carmen esse significauit: Quod autem medium, HEROAS ILLVSTRES: Quod verò vltimum, DAEMONAS TERRENOS; vt paulò pòst intelligemus. Nũc autem ad ea, quæ prima sunt, etiam reuertamur. Quænam LEX ista, eiúsque ordo? Quis etiam secũdum ordinem delatus HONOR? LEX quidem mens est opifex, ipsáque voluntas diuina; quæ omnia perpetuò producit, sempérque conseruat. Ordo autem LEGI consentiens, ille ipse, qui à parente omnium & opifice Dijs immortalibus attributus est; & quo inter eos alij quidem primi, alij autem secundi sunt. Quanuis enim, vt in vniuerso rationis participe ornatu, principatum sortiti sint; in seipsis tamen variantur; & sunt alij alijs diuiniores. Indicat verò quod est in eorum natura superius atque inferius ordo ipse cælestium orbium, ita ab essentiæ & virium ratione situm adeptus, vt in eorum essentia LEX ipsa iaceat; ordo autem cum præstanti eorum distinctione natus sit. Non enim fortuitò editi, postea discreti, separatique sunt: sed ordine collocati, atque distincti, in rerum naturam prodierũt; tanquam animantis vnius, cæli ipsius, diuersæ partes existant, suámq; inter se connexionem, in sua ipsorum secundũ speciem

distinctione simul, atque copula, ita retineant; vt ne situs quidem earum vnquam excogitari perturbatio valeat, nisi cum vniuersitatis interitu; qui contingere non potest, si prima earum caussa semper sit immutabilis, & constans, eadémque perpetuò essentia, & agendi vi, non aduentitia bonitate prędita, sed per se insita, & propter eam omnia ad felicem statum adducens. Neque enim caussa alia rationi consentiens rerum omniũ creationis afferri potest, quàm quę ab essentiali Dei bonitate proficiscitur. Est enim bonus Deus natura ipsa: neque in eũ, qui bonus est, vlla vnquam rei vllius cadit inuidia. Quę enim aliæ, pręter bonitatem, creandæ vniuersitatis huius caussæ assignantur, mortalium necessitatibus potiùs, quàm Deo conueniũt. At Deus, quia natura bonus est, quę maximè sibi existunt similia, prima in rerum naturam produxit. Secunda autem, quę mediam sui referunt imaginem. Tertia verò & vltima, quæ ex omnibus sibi conformibus, à diuina imagine sunt quammaximè remota, atque distantia. Extitit verò rerum essentiæ, quę factæ sunt, ita coniunctus & comes ordo; vt quod natura pręstantius esset, inferiori pręponeretur; non in totis generibus solùm; sed in singulis etiam, quæ secundum speciem re vera subsistunt.

διαστάσει ἅμα καὶ συναφῇ ἀποσῴζοντες, ὥστε μηδὲ ἐπάλλαξιν τῆς θέσεως αὐτῶν ἐπινοηθῆναί ποτε δύνασθαι, εἰ μὴ μετὰ τῆς φθορᾶς τοῦ παντὸς, ἣν ἀδύνατον ἐπισυμβῆναι ἔς, ἂν ᾖ τὸ πρῶτον αὐτῶν αἴτιον ἀμετάβλητον πάντῃ, καὶ ἄτρεπτον, καὶ τὴν οὐσίαν τῇ ἐνεργείᾳ τὴν αὐτὴν κεκτημένον, καὶ τὴν ἀγαθότητα οὐκ ἐπίκτητον ἔχον, ἀλλ᾽ οὐσιωμένην καθ᾽ αὐτὴν, καὶ δι᾽ αὐτὴν τὰ πάντων πρὸς τὸ εὖ εἶναι παράγον. αἰτία γὰρ τῆς τῶν πάντων ποιήσεως οὐδεμία ἄλλη προσέσειν εὔλογος, πλὴν τῆς κατ᾽ οὐσίαν ἀγαθότητος. ἀγαθὸς γὰρ ἦν φύσει. ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος. αἱ γὰρ παρὰ τὴν ἀγαθότητα λεγόμεναι αἰτίαι τῆς δημιουργίας τοῦδε τοῦ παντὸς, ἀνθρωπίναις μᾶλλον περιστάσεσιν, ἢ τῷ θεῷ πρέπουσιν· ἀγαθὸς δὲ ὢν τὴν φύσιν ὁ θεὸς, τὰ μάλιστα ὁμοιώμενα αὐτῷ πρῶτα φύσει παρήγαγε· καὶ δεύτερα τὴν μέσην ὁμοιότητα πρὸς αὐτὸν κεκτημένα· τρίτα δὲ καὶ ἔσχατα, πάντων τῶν ἐοικότων αὐτῷ τὰ πρὸς τὴν θείαν ὁμοίωσιν μάλιστα ὑφειμένα. τῇ δὲ οὐσίᾳ τῶν γινομένων σύνδρομος ἦν ἡ τάξις, ὥστε τὸ τῇ φύσει κρεῖττον προτεταγμένον εἶναι τοῦ καταδεεστέρου, ἔν τε τοῖς ὅλοις γένεσιν, ἔν τε τοῖς καθ᾽ ἕκαστον γένος ἢ καὶ εἶδος ὑποστάσεσι κεκτημένοις.

γρ. ἕως

οὐ γὰρ τύχαις ἐκληροῦτο τὴν τάξιν τὰ πάντα, οὐ-
δὲ προαιρέσεως μεταβολαῖς, ἀλλὰ ΝΟ-
ΜΟΙΣ δημιουργικοῖς διαφορὰ προήγετο, καὶ
τὴν τάξιν ἀνάλογον ταῖς τῶν φύσεων ἀξίαν
ἐλάγχανε. Διὸ, τῷ ΝΟΜΩ, ΩΣ ΔΙΑ-
ΚΕΙΝΤΑΙ, ΤΙΜΑ, οὐ μόνον ἐπὶ τῶν
ΑΘΑΝΑΤΩΝ ΘΕΩΝ, ἀλλὰ καὶ ἐπὶ
τῶν ΑΓΑΥΩΝ ΗΡΩΩΝ, καὶ τῶν ἀν-
θρωπίνων ψυχῶν κοινῶς ἀκουστέον. ἔστι γὰρ πλῆ-
θος εἰδῶν ἐν ἑκάστῳ γένει καθ' ὑπεροχὴν καὶ
ὑπόβασιν τεταγμένον. τοιαύτη μὲν ἡ φύσις τῶν
λογικῶν οὐσιῶν, καὶ ἡ τάξις. τίς δὲ ὁ ΝΟ-
ΜΟΣ, καὶ ἡ τούτῳ ἑπομένη ΤΙΜΗ; πάλιν
λέγομεν, ὅτι ΝΟΜΟΣ μὲν ἡ ἄτρεπτος τοῦ
θεοῦ, καὶ ἡ δημιουργικὴ ἐνέργεια, ἡ γεννῶσα τὰ
θεῖα γένη, καὶ τηροῦσα ἀϊδίως, καὶ ἀμεταβλή-
τως. ἡ δὲ σύμφωνος τῷ ΝΟΜΩ ΤΙΜΗ,
ἡ τῆς οὐσίας ἐστὶ τῶν ΤΙΜΩΜΕΝΩΝ
γνῶσις, καὶ ἡ πρὸς αὐτὴν κατὰ δύναμιν ἐξο-
γρ. ὅν μοίωσις. ὃ γὰρ ἀγαπᾷ τις, καὶ μιμεῖται ὅσον
αὐτῷ οἷόν τε. καὶ ΤΙΜΗΝ ποιεῖται τοῦ ἀνεν-
δεοῦς τὴν τῶν ὑπ' ἐκείνου προτεινομένων ἀ-
γαθῶν ὑποδοχήν. οὐ γὰρ ΤΙΜΗΣΕΙΣ
τὸν ΘΕΟΝ διδούς τι αὐτῷ, ἀλλ' ἄξιος τοῦ
λαβεῖν τὰ παρ' ἐκείνου γενόμενος· ὡς γάρ
φασιν οἱ πυθαγόρειοι, τιμήσεις τὸν θεὸν ἄριστα,

Non enim fortuitò ordinem cuncta sortita sunt; neque electionis mutatione: sed à conditoris LEGE discrimen eorum prodijt; congruúmque naturarum prętantijs ordinem adepta sunt. Quo fit, vt quod, VTI LEGE DISPOSITI SVNT, HONORARI pręcepit, non de DIIS tantùm IMMORTALIBVS; sed de ILLVSTRIBVS etiam HEROIBVS, humanísque animis, communiter intelligatur. Est enim in singulis generibus specierum multitudo secundum quod superius est, atque inferius, ordinata. Et hæc quidem essentiarum, quæ ratione vtuntur, natura est, atque ordo. Quænam verò LEX? qui deinde HONOS, qui ipsam sequitur? dicimus rursum LEGIS quidem nomine, immutabilem Dei opificis actionem, à qua diuina genera producuntur, & quę in perpetuũ, nulláque facta mutatione ordinantur, significari: per HONOREM autem LEGI congruum, essentiæ eorum, qui HONORANTVR, notitiam: & ad eorum imaginem, quãtùm fas est, effictionem. quẽm enim quis diligit, imitatur etiam; quãtum potest: eóque HONOREM locupleti tribuit, quòd porrecta ab ipso bona accipit. Non enim eo ipso Deum HONORAS, quòd ei das aliquid; sed quòd dignus sis, qui ab eo accipias. Deum namque, aiunt Pythagorei, honore afficias quàm optimè,

ſi eidem fias animo ſimilis. Quiſquis Deo pręterea, tanquam egenti, HONOREM TRIBVIT; non videt, vt ſe Deo potentiorem faciat. Ipſa deinde oblationum profuſio HONORI Deo non cedit;ſi auerſo à diuinitate animo offeratur. Dona ſiquidem, & hoſtiæ ſtultorum hominum, nihil ſunt aliud, quàm ignis pabulum; & donaria ſacrilegorum opes. At diuinus animus, cùm bene fundamenta iecit, Deo coniungit. Eſt enim neceſſe quod ſimile eſt ad ſimile tendere. quo fit, vt ſolus ſacerdos ſapiens dicatur; ſolus item Deo gratus; ſolus etiam precandi gnarus. Nouit enim ſolus Deum HONORARE, qui eorum dignitatem, quibus HONOS competit, non confundit: quíque ſe imprimis hoſtiam offerens, ſuúmque animum diuinum ſimulacrum faciens, mentem quoque ſuam, ad diuini luminis ſuſceptionem, templum Deo ipſi conſtruit, atque pręparat. Quid enim tale de rebus, quæ ſunt in medio poſitę, offeras; vt Deo conueniens ſimulacrum, aut donum, quod ipſi vniri queat, efficiat: quę in rationis participe natura munda & purgata, contingere neceſſe eſt. Nam, vt ijdem viri aſſerunt, locum non habet Deus in terra, pura anima gratiorem. quibus & Pythius ipſe adſtipulatur, cùm ait;

Ipſe pijs tantùm, quantũ delector olympo.

Eſt verò

ἐὰν τῷ θεῷ τὴν διάνοιαν ὁμοιώσῃς. καὶ ὅστις ΤΙΜΑ τὸν θεὸν, ὡς προσδεόμενον, οὗτος λέληθεν οἰόμενος ἑαυτὸν τοῦ θεοῦ εἶναι κρείττονα. καὶ ἡ τῶν προσφερομένων πολυτέλεια, ΤΙΜΗ εἰς θεὸν οὐ γίνεται, εἰ μὴ μετὰ τοῦ ἐνθέου φρονήματος προσάγοιτο. δῶρα γὰρ, καὶ θυηπολίαι ἀφρόνων, πυρὸς τροφή· καὶ ἀναθήματα, ἱεροσύλοις χορηγία. τὸ δὲ ἔνθεον φρόνημα διαρκῶς ἡδρασμένον, συνάπτει θεῷ. χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον. ὅθεν καὶ μόνος ἱερεὺς ὁ σοφὸς λέγεται, μόνος θεοφιλὴς, μόνος εἰδὼς εὔξασθαι. μόνος γὰρ οἶδε ΤΙΜΑΝ ὁ τὴν ἀξίαν μὴ συγχέων τῶν ΤΙΜΩΜΕΝΩΝ, καὶ ὁ προηγουμένως ἱερεῖον ἑαυτὸν προσάγων, καὶ ἄγαλμα θεῖον τεκταίνων τὴν ἑαυτοῦ ψυχὴν, καὶ ναὸν εἰς ὑποδοχὴν τοῦ θείου φωτὸς τὸν ἑαυτοῦ παρασκευάζων νοῦν. τί γὰρ τοιοῦτον προσάξεις ἀπὸ τῶν ἐν μέσῳ κειμένων ὑλῶν, ὃ τῷ θεῷ προσφυὲς ἄγαλμα ἐργάσῃ, ἢ δῶρον αὐτῷ ἐνιδρῦσθαι δυνάμενον, ἃ δὴ ἐπὶ τῆς λογικῆς οὐσίας καθαρθείσης συμβαίνειν ἀνάγκη; ὡς γὰρ οἱ αὐτοὶ ἄνδρες φασὶ, ψυχῆς καθαρᾶς τόπον οἰκειότερον ἐπὶ γῆς θεὸς οὐκ ἔχει. οἷς καὶ ὁ πύθιος συμφέρεται λέγων·

Εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον, ὅσσον ὀλύμπῳ.

εὐσεβὴς δὲ ὁ τὴν θείαν ἐπιστήμην ἔχων, καὶ τὴν ἑαυτοῦ τελείωσιν, ὡς ζημίαν ἀρίστην, προσάγων τοῖς τῶν ἀγαθῶν αἰτίοις, τῇ σπουδῇ τῆς *κλίσεως πρὸς τοὺς χορηγεῖν πεφυκότας ἐπιστρεφόμενος, καὶ ᾧ λαμβάνειν τὰ ἀγαθὰ δύνασθαι, ΤΙΜΩΝ τοὺς ἀεὶ διδόντας αὐτά. ὁ δὲ ἄλλως ΤΙΜΑΝ τὸ θεῖον προαιρούμενος, καὶ μὴ δι' ἑαυτοῦ, παραναλώμα τῆς ἔξωθεν εὐπορείας ποιεῖται τὴν ΤΙΜΗΝ, οὐκ οἰκείαν ἀρετὴν προσφέρων, ἀλλὰ ἀπὸ τῶν ἐκτὸς αὐτοῖς ἀφοσιούμενος. ταῦτα δὲ οὐδὲ σπουδαίῳ ἀνδρὶ λαμβάνειν ἡδὺ, μὴ μετὰ τῆς ἀρίστης διαθέσεως διδόμενα. τοιοῦτον δὲ καὶ τὸ τῆς Πυθίας πάλιν ἀπόφθεγμα. πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα μὴ μετ' εὐσεβοῦς γνώμης, καὶ πυνθανόμενον πῶς εἴη προσδεδεγμένος τὰ παρ' αὐτοῦ δῶρα, ἀποκρίνεται.

χ΄ *κλή-σεως

» Ἀλλά μοι εὔαδε χόνδρος ἀγακλυτοῦ Ἑρμιονῆος.

τὸ εὐτελέστατον προκρίνων τῆς τοσαύτης πολυτελείας, ὅτι δὴ θεοσεβείας γνώμῃ κεκόσμητο. μετ' αὐτῆς γὰρ πάντα θεοφιλῆ· καὶ ἄνευ ταύτης οὐδὲν θεῷ φίλον ἄν ποτε γένοιτο. ταῦτα μὲν περὶ θεοσεβείας καὶ ὁσιότητος ἱκανῶς ἐν τῷ παρόντι λελέχθω. Ἐπειδὴ δὲ τὸν νόμον τῆς τοῦ παντὸς διατάξεως ἄτρεπτος φρουρὰ διατηρεῖ, καὶ τὸν τῆς φρουρᾶς ταύτης φύλακα τοῖς παλαιοῖς ἔθος ἦν δι' ἀπορρήτων ὅρκον ὀνομάζειν,

Est verò pius, qui diuina scientia præditus, suámque perfectionem, tanquam honorem præstantissimum, bonorum auctoribus offerens, adipiscendi studio ad eos se, qui suppeditare queunt, conuertit; & eo ipso, quòd bona potest accipere, eos HONORAT, qui illa perpetuò largiuntur. Quisquis autem aliter HONOREM DEO TRIBVERE nititur, non autem à se ipso; externarum ille diuitiarum mala profusione, non propriæ virtutis honorifica oblatione in eos defungitur. Immò ne viro quidem probo iucundum esset ista admittere, quæ malo animo dari non ignoraret. Tale est etiam Pythij præclarè dictum aliud. Ei enim, qui centum bobus, animo nequaquam pio, fecerat, cùm quęreret, quàm grata sua illi dona fuissent, ita respondit;

At mihi farra placent prænobilis Hermionei.

Vt quod erat tenuissimum, tãtæ profusioni ideo se prępонere significaret; quòd mentis pietate ornaretur. Hæc enim si adsit, nihil esse Deo gratum non potest: contrà autem, si desit. Atque hęc quidem de pietate in DEOS atque sanctitate satis hoc loco. Quoniam autem LEGEM ordinis vniuersitatis constans tuetur obseruatio; huiúsque obseruationis custodem apud veteres mos erat arcano iureiurando nominare:

meritò deinceps, ad ea quæ dicta sunt, veluti consequens dogma, de iureiurando præceptum adijcit.

*COLE DEINDE IVSIVRANDVM.

Et iusiurandum. ——

Legem quidem superiùs Dei actionem existere docuimus eodem modo semper se habentem, perpetuáque, & immutabili ratione res omnes producentẽ. IVSIVRANDVM deinceps ipsi caussam esse dixerimus, quæ omnia in eodem statu ita conseruet, atque retineat; vt quæ IVRAMENTI fide confirmata sunt, & legis ordinem tuentur; tanquam certus legis effectus, in eorum recto ordine, quæ condita sunt, existãt. Quòd enim eadem lege stant omnia, sicuti disposita sunt; primarium fuerit hoc diuini IVRISIVRANDI opus: quod quidem inter eos, qui Deum semper intelligunt, maximè, atque perpetuò seruatur. Inter eos autem, qui aliquando quidem intelligunt, aliquando verò à diuina cognitione recedunt; & IVSIVRANDVM similiter ab ijs quidem violatur, qui recedunt; seruatur autem ab ijs, qui ad Deum reuertuntur. Dicitur enim IVSIVRANDNM hoc loco, ipsa diuinarũ legũ obseruatio: quo cum Deo opifice cuncta vinciuntur, atque aptãtur, quæ, vt eundem nossent, creata sunt:

εἰκότως ἐφεξῆς τοῖς προειρημένοις, ὡς ἀκόλουθον ἐπάγει δόγμα, τὸ περὶ ὅρκου παράγγελμα.

2—ΚΑΙ ΣΕΒΟΥ ΟΡΚΟΝ—

Νόμον μὲν ἐν τοῖς προτέροις ἀπεφηνάμεθα τὴν ἀεὶ, καὶ ὡσαύτως ἔχουσαν ἐνέργειαν τοῦ θεοῦ, τὴν ἀϊδίως, καὶ ἀτρέπτως τὰ πάντα πρὸς τὸ εἶναι παράγουσαν· ΟΡΚΟΝ δὲ νῦν ἑπομένως αὐτῷ τῷ νόμῳ λέγομεν, τὴν ἐν ταυτότητι τὰ πάντα διατηροῦσαν αἰτίαν, καὶ οὕτως καταβεβαιοῦσαν, ὡς ἐν ὅρκου πίστει κρατούμενα, καὶ διασώζοντα τοῦ νόμου τὴν τάξιν, ὥστε ἀποτέλεσμα τοῦ δημιουργικοῦ νόμου εἶναι τὸ ἀπαράβατον τῆς ἐν τοῖς δημιουργηθεῖσιν εὐταξίας. τὸ γὰρ μένειν τὰ πάντα νόμῳ, ὡς διακέκρινται, προηγούμενον ἔργον ἂν εἴη τοῦ ΟΡΚΟΥ τοῦ θείου· ὃς ἐν μὲν τοῖς ἀεὶ νοοῦσι τὸν θεὸν, μάλιστά τε, καὶ ἀεὶ διασώζεται· ἐν δὲ τοῖς ποτὲ μὲν νοοῦσι, ποτὲ δὲ ἀφισταμένοις τῆς θείας γνώσεως, καὶ Ο ΟΡΚΟΣ ὁμοίως παραβαίνεται μὲν ὑπὸ τῶν ἀφισταμένων· αὖθις δὲ τηρεῖται ὑπὸ τῶν πρὸς τὴν θείαν στροφὴν ἀναγομένων. ἡ γὰρ τήρησις τῶν θείων νόμων ΟΡΚΟΣ νῦν λέγεται, ᾧ δέδεται καὶ ἀνήρτηται πάντα πρὸς τὸν δημιουργὸν θεὸν τὰ γινώσκειν αὐτὸν πεφυκότα.

Συστέλλειν δεῖ ταῦτα πάντα, καὶ στέλλειν, ἵνα μὴ παρενοχλῇ τὸν λογισμόν. φέρε οὖν, ἀλογίαν ὅλην ἐν τάξει χαλινώσωμεν ὀρθαῖς παιδαγωγίαις· ἐπειδὴ καὶ τὰ ταύτης μέρη χορηγά ἐστι κακίας ἀλλήλοις ἐφεξῆς. οἷον, ΓΑΣΤΗΡ ἄγαν πληρουμένη ΥΠΝΟΝ πολὺν ἐπάγεται. ἀμφότερα δὲ ἀφθονίαν παρέχεται σπέρματος, ἥτις ἀμέτρως ἐγείρει πρὸς ἀφροδίσια, καὶ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς πρὸς τὸ ἀκόλαστον ἐποξύνει. τούτῳ δὲ τὸ θυμικὸν συνεμφερόμενον διὰ πάσης ἵεται μάχης, νῦν μὲν σιτία καὶ ποτὰ ἐκδιῶκον, νῦν δὲ περὶ ἑταίρας μαχόμενον, καὶ ἄλλοτε ἄλλας ἡδονὰς φιλονικοῦν κτήσασθαι. ΚΡΑΤΕΙΝ οὖν ΕΘΙΖΟΥ ΤΟΥΤΩΝ,

ἀπὸ τῆς ΓΑΣΤΡΟΣ πρώτης ἀρξάμενος, ἵνα τῷ τε λόγου κατήκοα γίγνηται τὰ ἄλογα τῆς ψυχῆς εἴδη, καὶ αὐτὸς ἐπὶ σαυτοῦ τὴν εὐσέβειαν, καὶ τὴν περὶ γονέας τιμὴν, καὶ πάντα, ἃ μικρῷ πρόσθεν παρήνεσεν ὁ λόγος, ἀπαραγώγως φυλάξαι δυνηθῇς. Δύναμις γὰρ τῆς τῶν προτέρων τηρήσεως ταυτὶ τὰ ἑπόμενα. ἐπεὶ παραβαθείη ἂν πάντα ἐκεῖνα, μὴ ἑπομένων τῷ λογισμῷ τῶν παθητικῶν δυνάμεων. ἢ γὰρ ΘΥΜΟΣ ἐξετάραξε κατὰ γονέων, ἢ ἐπιθυμία πρὸς ἀπείθειαν αὐτῶν ὥπλισε. καὶ πάλιν, ἢ θυμὸς πρὸς βλασφημίαν ἤγειρεν, ἢ ἐπιθυμία χρημάτων πρὸς ἐπιορκίαν. καὶ ὅλως τὰ κακὰ διὰ ταύτας προστίθεται τὰς δυνάμεις, μὴ τῆς λογικῆς οὐσίας πρὸς τὸ δέον αὐτὰς ἀπευθυνούσης. ἐντεῦθεν ἀσέβειαι παντοῖαι, καὶ πόλεμοι συγγενικοὶ, καὶ φίλων προδοσίαι, καὶ πάντα τῆς παρανομίας τὰ

γρ. τινα ἄλλ. εἴδη, ὡς καὶ βοᾶν ἀναγκάζεσθαί τινας.

γρ. τολμήσω — Μανθάνω μὲν οἷα μέλλω δρᾶν κακά.

Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

ἄλλοις δὲ, ἢ τοῖς αὐτοῖς, ἄλλοτε βοᾶν.

— Μανθάνω μὲν οἷα μέλλω δρᾶν κακά.

γρ. ἄλλον δ', ἢ τὴν αὐτήν Ἐπιθυμία δ' κρείσσων τῶν ἐμῶν βουλευμάτων.

καὶ εὖ μὲν μοι δοκεῖς λέγειν·

γρ. δοκεῖ — Πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος.

Ου πάνυ πείθομαι. — —

ducto statim A VENTRE PRINCIPIO, vt quæ ratione carent animæ partes ipsam sequantur; túque etiam pietatem in te, & honorem erga parentes, cæteráque omnia, ad quæ priùs hortatus est, tueri semper atque seruare valeas. Possunt enim quæ priùs dicta sunt obseruari; si fiant quæ sequuntur. Fuerint namque violata illa omnia; nisi quæ perturbationibus obnoxiæ sunt facultates rationi obtemperent. Aut enim ira in parentes commouebit; aut armabit cupiditas aduersus eorum consilia. Et rursum aut ira ad blasphemiam prouocabit; aut pecuniarum cupiditas ad periurium. Nulla non denique, vt semel dicam, ab istis facultatibus mala oriuntur; si minùs ad id, quod decet, à ratione dirigantur. Inde cuiuslibet generis impietas. Inde bella inter consanguineos. Inde amicorum proditiones; cæteráque flagitiorum genera. quibus fit, vt exclamare cogatur illa;

—Non me latent quæ conor ego nunc mala:
Sed ira maior est consilio mihi.

Et alius etiam; aut eadem aliàs;

—Non me latent quæ conor ego nunc mala:
Sed mente fortior cupiditas mihi.

Nec absurdè sanè mihi videtur dicere:

-- Laboro valde communi malo.
Haud fermè suadeor. --

Quod enim rationis particeps genus est, cùm benè se ad honestarum rerum perceptionem natura habeat, facilè reminiscitur, & ad rectæ rationis disciplinã nullo negotio excitatur; nisi perturbationũ vi, tãquam laminis quibusdã plumbeis, ad vitia deorsum rapiatur. Oportet igitur & nos etiã nosse quæ decẽt, ipsásque rationis expertes facultates (quantùm possumus) ita regere, atque moderari; vt rationi, quæ in nobis est, obtemperent. quibus in ordinẽ ita coactis, tumdemũ poterit ipsa ratio, nulla vnquã facta distractione, prima præcepta, de quibus antea intelligit, cùm, ILLA QVIDEM SIC TENEAS, dixit, obseruare. De cæteris autem, quæ sequuntur, illa vsurpauit, quibus DOMINARI ASSVESCENDVM subiunxit; vt quod est ratione præditum, disciplina atque scientia regi debere significaret: quod autem ea destituitur, assuetudine & formatione quadã corporea indigere: qua ratione quæ bruta dicuntur, ab hominibus agi consuetudine tantùm videmus. VENTER igitur, qui moderata appetere CONSVEVERIT; non cæteras tantum corporis cupiditates præbebit præstantiores; sed IRAM etiam faciet remissiorẽ; vt de his placidè, quæ iusta sunt, consilium ineamus, neque perturbationibus internis exagitemur; vnde & nosse ipsi quid verè simus; & reuereri quod nouerimus, discamus.

Τὸ γὰρ λογικὸν ἦθος πρὸς τὴν τῶν καλῶν
αἴσθησιν εὐφυῶς διακείμενον, εὐανάμνηστον,
καὶ εὐέλεγκτον πρὸς τὴν τοῦ ὀρθοῦ λόγου δι-
δασκαλίαν, ὅταν μὴ ταῖς παθητικαῖς ὁλκαῖς,
ὥσπερ τισὶ μολυβδίσιν ὑποφέρηται πρὸς κα-
κίαν. Δεῖ οὖν καὶ αὐτοὺς ἡμᾶς εἰδέναι τὰ δέον-
τα, καὶ τὰς ἀλόγους δυνάμεις ἐθίσαι, ὅσον
οἷόν τε, καὶ αὐτὰς τῷ ἐν ἡμῖν λόγῳ συνέπεσθαι.
οὕτω δὲ ταχθέντων τῶν παθῶν, ἱκανὸς ὁ λογι-
σμὸς γένοιτο ἂν ἀπαραβάτως φυλάξαι τὰ
προσταχθέντα παραγγέλματα, περὶ ὧν εἴρηται·
ΤΑΥΤΑ ΜΕΝ ΟΥΤΩΣ ΙΣΘΙ.
περὶ δὲ τῆς ἑξῆς, ΕΘΙΖΟΥ ΚΡΑ-
ΤΕΙΝ εἶπεν, ἐνδεικνύμενος, ὅτι τὸ μὲν λο-
γικὸν διδασκαλίᾳ καὶ ἐπιστήμῃ τελεῖται.
τὸ δὲ ἄλογον ἐθισμοῖς καὶ πλάσεσι τρόπον χ'
τινὰ σωματικοῖς. οὕτω δὲ καὶ τῶν ζώων τὰ σωμα-
ἄλογα μόνῳ ἔθει ἄγεται ὑπὸ τῶν ἀνθρώπων. εἰκότως.
ἐθισθεῖσα οὖν ΓΑΣΤΗΡ ζητεῖν μέτρα,
πρέπει τε ἄλλας ἐπιθυμίας τοῦ σώματος κοσμιω-
τέρας παρέχεται, καὶ τὸν ΘΥΜΟΝ
ἐμμελέστερον, ἵν' ἐφ' ἡσυχίας τὰ περὶ τῶν
δεόντων βουλευώμεθα, μὴ σφόδρα ὑπὸ
τῶν συνοικούντων παθῶν ἐλαυνόμενοι. ὅθεν
καὶ τὸ ἑαυτοὺς γνῶναι ὅ ἐσμὲν τῇ ἀληθείᾳ,
καὶ τὸ αἰδεῖσθαι οὓς ἔγνωμεν, διδασκόμεθα.

ἐκ δὲ τῆς γνώσεως ταύτης, καὶ τῆς συνεισιούσης αὐτῇ αἰδοῦς ἡ τῶν αἰσχρῶν φυγὴ παραγίνεται. τὰ γὰρ κακά, αἰσχρὰ λέγονται, ὡς ἀπρεπῆ, καὶ ἀνάξια δρᾶσθαι ὑπὸ λογικῆς οὐσίας, περὶ ὧν τὰ ἑξῆς ἔπη λέγει.

11 ΠΡΗΞΕΙΣ Δ' ΑΙΣΧΡΟΝ ΠΟΤΕ, ΜΗΤΕ ΜΕΤ' ΑΛΛΟΥ, 12 ΜΗΤ' ΙΔΙΗ. ΠΑΝΤΩΝ ΔΕ ΜΑΛΙΣΤ' ΑΙΣΧΥΝΕΟ ΣΑΥΤΟΝ.

Η γὰρ καθ' ἑαυτοὺς ΠΡΑΤΤΟΝΤΕΣ τὸ ΑΙΣΧΡΟΝ, ἀδιάφορον αὐτὸ ἡγούμεθα, ὃ μετ' ἄλλου οὐκ ἂν ΕΠΡΑΞΑΜΕΝ ποτε, τὸν κοινωνὸν τῆς ΠΡΑΞΕΩΣ ΑΙΣΧΥΝΟΥΜΕΝΟΙ. ἢ ἀνάπαλιν, συμπαραφερόμενοί τισι ΠΡΑΤΤΟΜΕΝ ἃ μή ποτ' ἂν καθ' ἑαυτοὺς ἐδράσαμεν, τῇ κοινωνίᾳ τῶν συμπραττόντων εἰς παρρησίαν τοῦ ἔργου προκαλούμενοι. Διὰ τοῦτο προκαθεῖλεν ἑκατέραν ὁδὸν τῆς εἰς τὸ ΑΙΣΧΡΟΝ, καὶ τὸ κακὸν
κέ προεκβάσεως. εἰ γὰρ τὸ ΑΙΣΧΡΟΝ τῇ ἀλη-
οὐκ αὖ θείᾳ φευκτὸν, οὐχ ἅπαντες διὰ περίστασιν αἱρε-
ποτε τὸν γένοιτο. Διὸ συνάψας εἶπε, ΜΗΤΕ ΜΕΤ' ΑΛΛΟΥ, ΜΗΤ' ΙΔΙΗ·

Nascitur verò ex cognitione huiusmodi, atque pudore, qui ad eundem accedit, fuga turpium. Turpia enim, quæ mala sunt, nominantur; tanquam indecora & indigna, quæ fiant ab homine: de quibus versus, quæ sequuntur, adiicit.

11 COMMITTE VERO NIHIL TVRPE VNQVAM, NEQVE ALIO PRAESENTE; 12 NEQVE PRIVATIM: SED OMNIVM MAXIME TVI TE PVDEAT.

—*Nec quidquam sociis aut testibus, aut te Solo, turpe geras. Sũmus pudor ipse tibi sis.*

Aut enim, cùm TVRPE aliquid SOLI FACIMVS, indifferens illud arbitramur; quod CVM ALIO nunquam FECISSEMVS, communicationis PVDORE deterriti: Aut contra, nonnulla ipsi præsentibus aliis FACIMVS; à quibus omnino abstineremus, si sociorum communione non inuitaremur: quo fit, vt vtramque viam ad id, quod TVRPE, & malum est, statim amputarit. Si enim quod turpe est, re vera fugiendum est; nunquam certè circunstantiis assequetur, vt eligatur. Quo fit, vt coniunctim dixerit, NEQVE CVM ALIO; NEQVE PRIVATIM:

vt nec te ad id, quod minimè honestum est, inuitaret solitudo; nec peccati defensionem præberet societas. Caussam deinde subiungens, quæ sola à patrando scelere auocet, addit: cùm OMNIVM VERÒ MAXIME TVI TE PVDEAT, ait. Si enim TVI PVDORE affici consueueris; habebis vbique tui custodem, CVIVS TE PVDEAT, valdè commodum, & quem effugere non possis. Multi siquidem SOLI, semotis amicis, aut familiaribus, ea admiserunt; quæ illis præsentibus antea facere erubuerant. Nullúmne igitur testem habuerunt? Deum omitto. (Abest enim longiùs iste à vitiorum conscientia) annon seipsos habuerunt, & conscientiæ testimonium? Habuerunt sanè quidem; sed habere se ignorarunt, cùm cupiditatibus distinerentur. Qui autem eiusmodi sunt, quod in se habent rationis, probro afficiunt, & mancipio vilius reddunt. Te ergo tui curatorem familiarissimum adhibe: atque ad illum conuersus vitiorum auersionem exordire. Sui namque PVDOR fugam cuique rerum TVRPIVM, & à ratione alienarum, parit necessariò. Verùm quo pacto, qui ita vitia oderit, virtuti se adiungat, afferentem audiamus.

13 COLE DEINDE IVSTITIAM FACTIS, ATQVE VERBIS:

ἵνα μήτε μονώσεις ἐπεγείρῃ σε πρὸς τὸ μὴ πρέπον, μήτε κοινωνία εὐαπολόγητόν σοι ποιήσῃ τὴν ἁμαρτίαν. εἶτ' ἐπήγαγε τὴν αἰτίαν τὴν μόνην τῶν κακῶν ἀποτρέπουσαν, ΠΑΝΤΩΝ ΔΕ ΜΑΛΙΣΤ' ΑΙΣΧΥΝΕΟ ΣΑΥΤΟΝ. ἐὰν γὰρ ἐθισθῇς σαυτὸν ΑΙΣΧΥΝΕΣΘΑΙ, ἕξεις πανταχοῦ, ὃν αἰδεσθήσῃ, οἰκειότατον φύλακα, καὶ ἀναπόδραστον. ἐπεὶ πολλοὶ μονωθέντες φίλων, ἢ οἰκετῶν, ἔδρασαν ταῦτα, ἃ πρότερον δι' ἐκείνους ποιῆσαι ΗΣΧΥΝΑΝΤΟ. ἆρ' οὖν οὐδένα εἶχον συνόντα; ἐῶ θεὸν (πόρρω γὰρ ἐστὶ τῆς τῶν κακῶν συνειδήσεως.) ἀλλὰ ἑαυτοὺς οὐκ εἶχον καὶ τὸ τοῦ συνειδότος κριτήριον; εἶχον μὲν οὖν· ἀλλ' ἠγνόουν ὅ τι εἶχον, τοῖς πάθεσι κατατεινόμενοι. οἱ δὲ τοιοῦτοι τὸ ἑαυτοῖς λογικὸν, ἄτιμον, καὶ ἀνδραπόδου φαυλότερον ἔθεντο. οἰκειότατον οὖν ἐπίτροπον ἔχε σαυτόν· καὶ πρὸς τοῦτον ἐπιστρέφων κατάρχου τῆς ἀποστροφῆς τῶν κακῶν. ἡ γὰρ ἑαυτοῦ αἰδὼς, ἑκάστου φυγὴ τῶν ΑΙΣΧΡΩΝ, καὶ ἀναξίων τῆς λογικῆς οὐσίας ἐξ ἀνάγκης γίνεται. ὁ δὲ οὕτως ἀπαξιῶν τὰ κακὰ, πῶς πρὸς ἀρετὴν οἰκειοῦται, ἐπάγει.

13 ΕΙΤΑ ΔΙΚΑΙΟΣΥΝΗΝ ΑΣΚΕΙΝ ΕΡΓΩ ΤΕ, ΛΟΓΩ ΤΕ.

14 ΜΗΔ' ΑΛΟΓΙΣΤΩΣ ΣΑΥΤΟΝ ΕΧΕΙΝ ΠΕΡΙ ΜΗΔΕΝ ΕΘΙΖΕ.
15 ΑΛΛΑ ΓΝΩΘΙ ΜΕΝ ΩΣ ΘΑΝΕΕΙΝ ΠΕΠΡΩΤΑΙ ΑΠΑΣΙ· 16 ΧΡΗΜΑΤΑ Δ' ΑΛΛΟΤΕ ΜΕΝ ΚΤΑΣΘΑΙ ΦΙΛΕΙ, ΑΛΛΟΤ' ΟΛΕΣΘΑΙ.

Ο ἑαυτὸν αἰχμαλώτος, φύλαξ ἑαυτοῦ γίνεται μηδαμοῦ κακίᾳ περιπεσεῖν. κακίας δὲ εἴδη πλείονα. κατὰ μὲν τὸ λογικὸν, ἀφροσύνη· κατὰ δὲ τὸ θυμικὸν, ἡ δειλία. κατὰ δὲ τὸ ἐπιθυμητικὸν, φιληδονία, καὶ φιλοχρηματία· κατὰ δὲ πάσας ὁμοῦ τὰς δυνάμεις, ἀδικία. τεσσάρων οὖν ἀρετῶν ἐδέησεν ἡμῖν πρὸς τὴν τῶν τοιούτων κακῶν ἀποτροπήν· φρονήσεως μὲν περὶ τὸ λογιζόμενον· ἀνδρείας δὲ περὶ τὸ θυμούμενον· σωφροσύνης δὲ περὶ τὸ ἐπιθυμητικόν· ΔΙΚΑΙΟΣΥΝΗΣ δὲ περὶ πάσας ὁμοῦ δυνάμεις τελειοτάτης οὔσης, καὶ διὰ πασῶν ἀρετῶν περιεκτικῆς τῶν ἄλλων, ὡς οἰκείων μερῶν. διὸ καὶ ταύτης πρώτης ἐμνημόνευσεν ὁ λόγος. εἶτα φρονήσεως, καὶ ἐφεξῆς τῶν ἀπὸ τῆς φρονήσεως ἐπιγομένων ἀρίστων ἐπιτηδευμάτων, καὶ εἰς τὴν τῆς δικαιοσύνης

14 NEQVE ASSVESCAS VLLA IN RE TE SINE RATIONE GERERE: 15 SED NORIS FATVM ESSE MORI OMNIBVS: 16 FORTVNAS AVTEM SOLERE ALIAS QVIDEM POSSIDERI; ALIAS AVTEM PERIRE.

Iura colas non ore tenus;sed rebus & ipsis.
Nec prauus mentem suescas rationibus vti:
Sed mortem fato subituros noueris omnes:
Diuitias quandoq; dari; quandoq; perire.

Qui sui pudore afficitur, cauet idem, ne vsquam in vitium prolabatur. Existunt autem vitiorum genera permulta. In eo quidem quod rationis est capax,imprudẽtia: In quo autem excitatur animus,timiditas: In quo verò appetit, voluptatis & diuitiarum studium. In omnibus denique facultatibus simul,iniustitia. Quo fit, vt quatuor virtutũ generibus ad eiusmodi malorum fugam opus fuisse videatur. prudẽtia quidem in eo, quod ratione vtitur: fortitudine autem, in quo versatur animi motus: continentia verò, in quo vis appetens: IVSTITIA denique, in quo simul habentur facultates omnes; tanquam perfectissima, cæterásque virtutes, vti partes proprias, in se continens: vnde contigit, vt eius primùm versus meminerit; deinde prudentiæ, & optimorũ deinceps conatuum, qui sumpto à prudẽtia impulsionis principio, in IVSTITIAM quoq;

absolutam atque perfectam definunt. Qui enim recta ratiocinatione vtitur, sociam sibi acquirit in laboribus quidem fortitudinem: in voluptatibus autē tēperantiā: in vniuersis verò simul, IVSTITIAM. Atq; ita fuerit virtutum quidē initium PRVDENTIA; finis autem IVSTITIA: mediæ verò FORTITVDO, atq; TEMPERANTIA. Vis enim illa, quę omnia discutit; & quę semper quod rectū est in singulorū actionibus quęrit, vt rationi cūcta cōsentiant, PRVDENTIAE habitus est; optima nimirū naturæ nostræ rationis participis dispositio; cuius ope reliquis etiam facultatibus ita splēdor accedit, vt in FORTITVDINEM quidē euadat iracundia; in TEMPERANTIAM autē cupiditas. quæ verò IVSTITIA nominatur, nihil à ratione alienum patiatur, & illa mortalis noster homo, sed virtutis vbertate, quæ inest homini immortali, exornetur. Primū enim à mente in animū ratione prǽditum splendorē virtutes emittūt, huiúsq; sunt propria forma, & perfectio, vitæq; felicitas. In id autē, quod rationis expers est, inque ipsum mortale corpus, virtutū quędam transit participatio: vt illa etiam, quæ rationali naturæ coniuncta sunt, pulchritudine, & mensura impleantur. Est verò diuinorū bonorū primum & maximum PRVDENTIA; cuius munere efficitur, cùm bene in animo rationis participe stabilita est, vt recta de rebus omnibus

ἰλότητα συντελούντων· ὁ γὰρ ὀρθῷ λογισμῷ χρώμενος, ἐν μὲν τοῖς δεινοῖς τὴν ἀνδρίαν σύμμαχον κέκτηται· ἐν δὲ τοῖς ἡδέσι, τὴν σωφροσύνην· ἐν πᾶσι δὲ ὁμοῦ, τὴν ΔΙΚΑΙΟΣΥΝΗΝ. καὶ οὕτως ἀρχὴ μὲν τῶν ἀρετῶν ἡ ΦΡΟΝΗΣΙΣ εὑρίσκεται· πέρας δὲ ἡ ΔΙΚΑΙΟΣΥΝΗ· διὰ μέσου δὲ ἡ ΑΝΔΡΙΑ, καὶ ΣΩΦΡΟΣΥΝΗ. ἡ γὰρ πάντα ἐκλογιζομένη δύναμις, καὶ τὸ * ἓν ἑκάστου ταῖς πράξεσιν ἀεὶ ζητοῦσα, ἵν' εὐλόγως ἕκαστα διατεθείη, ἡ τῆς φρονήσεώς ἐστιν ἕξις, ἀείστη διάθεσις οὖσα τῆς λογικῆς ἡμῶν οὐσίας, ἀφ' ἧς καὶ ταῖς ἄλλαις δυνάμεσιν ἡ εὐκοσμία παρέπεται, ὡς ἀνδρίζεσθαι μὲν τὸν θυμόν, σωφρονεῖν δὲ τὴν ἐπιθυμίαν, καὶ τὴν δικαιοσύνην τῆς ἀλογίας ἀνέχεσθαι, καὶ ταύτῃ κοσμεῖσθαι τὸν θνητὸν ἡμῶν ἄνθρωπον, ἐκ περιουσίας δὲ ἐνούσης ἀρετῆς τῷ ἀθανάτῳ ἀνθρώπῳ. προηγουμένως γὰρ αἱ ἀρεταὶ ἀπὸ νοῦ εἰς ψυχὴν λογικὴν ἐλλάμπονται, καὶ ταύτης εἰσὶν οἰκεῖον εἶδος, καὶ τελειότης, καὶ εὐζωΐα. εἰς δὲ τὴν ἀλογίαν, καὶ τὸ θνητὸν σῶμα μετουσία τις τῶν ἀρετῶν ἔρχεται, ὅπως ἂν καὶ τὰ συμπεφυκότα τῇ λογικῇ οὐσίᾳ εὐσχημοσύνης, καὶ μετελότητος πληρωθῇ· τὸ δὲ τῶν θείων ἀγαθῶν ἡγεμονοῦν ἡ φρόνησις αὕτη καλῶς ἐνιδρυθεῖσα τῇ λογικῇ ψυχῇ δίδωσι περὶ πάντων

* εὖ ἂν

δεῖ βουλεύεσθαι, καὶ τὸν μὲν θάνατον ἀνδρείως φέρειν, τὴν δὲ ἀποβολὴν τῶν χρημάτων πράως καὶ ἐμμελῶς. πάσας γὰρ τὰς μεταβολὰς τῆς θνητῆς φύσεως, καὶ τῆς ἑπομένης ταύτῃ τύχης, σωφρόνως καὶ ἀνεκπλήκτως ἡ φρόνησις ὑπομένειν δύναται. τὴν γὰρ φύσιν ἐκλελόγισται τῶν πραγμάτων, καὶ οἶδεν, ὡς ἀνάγκη τὸ συμπλασθὲν ἐκ γῆς, καὶ ὕδατος, εἰς αὐτὰ πάλιν διαλυθῆναι, καὶ πρὸς τὴν ἀνάγκην οὐκ ἀγριαίνεται, οὐδὲ ἀπρονόητα εἶναι οἴεται τὰ καθ' ἡμᾶς, ἐὰν τὸ θνητὸν ἀποθνήσκῃ. γινώσκει γὰρ ΩΣ ΘΑΝΕΕΙΝ ΠΕΠΡΩΤΑΙ ΑΠΑΣΙ, καί τις ὡρισμένος ἐστὶ χρόνος πρὸς διαμονὴν τοῖς θνητοῖς σώμασιν ἡμῶν, οὗ ἐνστάντος οὐ δεῖ χαλεπαίνειν, ἀλλ' ὡς νόμῳ θείῳ ἑκόντας ἕπεσθαι. τοῦτο γὰρ νῦν ἡ ΠΕΠΡΩΜΕΝΗ δηλοῖ, ὅροις τισὶν ἀναγκαίοις πεπερατῶσθαι τὴν θνητὴν ἡμῶν ζωήν. ΦΡΟΝΗΣΕΩΣ δὲ ἴδιον εἶναι τοῖς τῶν κρειττόνων ἕπεσθαι δόγμασιν, οὐ τὸ μὴ ἀποθανεῖν, ἀλλὰ τὸ εὖ ἀποθανεῖν ζητούσης. ὁμοίως δὲ καὶ τὴν τῶν ΧΡΗΜΑΤΩΝ φύσιν οὐκ ἀγνοεῖ, ὅτι νῦν μὲν ἦλθε, νῦν δὲ ἀπῆλθε κατά τινας ὡρισμένας αἰτίας, αἷς ἀντιτείνειν ἀβέλτερον. τῶν γὰρ οὐκ ἐφ' ἡμῖν τῆς κτήσεως ἡμεῖς οὐ κύριοι. οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, τὰ ΧΡΗΜΑΤΑ, καὶ ἁπλῶς,

consilia capiamus; vt mortē feramus fortiter; vt facultatum amissionem quietè atque moderatè. Potest enim PRVDENTIA mortalis vitæ huius mutationes omnes, & fortunæ, quę ipsam sequitur, prudenter, atque intrepidè sustinere. Considerat enim rerum naturā, vidétque omnia necessariò, quæ ex terra, & aqua prodierūt, in eadē rursum dissolui; nec aduersus necessitatem exasperatur immaniter; nec habet pro ignotis eorum quicquā, quibus sumus obnoxij; nec dubitat quod mortale est, interire. Nouit enim FATVM ESSE MORI OMNIBVS, & quod sit corporum nostrorū durationi tempus definitum: quo instante, non decet ęgrè ferre; sed ipsum, veluti legem diuinā, amplecti nō repugnātes. Id enim ipsum est, quod FATI nomen hoc loco significat; vt terminis quibusdam necessarijs vitam mortalē hanc nobis definiri demonstret: esse autem PRVDENTIAE proprium instituta sequi meliora; quæ haud mòri nequaquam, sed vita rectè defungi postulat. Pari verò ratione nec quę sit DIVITIARVM natura ignorat; eásque accedere quidem aliquando, aliquando autem recedere certis quibusdam rationibus; quibus reluctari stultum fuerit Neque enim eorum domini sumus, quæ non sunt in nostra potestate. Non sunt autem in nostra potestate, nec corpus, nec DIVITIAE: nec omnia denique,

quæ ſunt à noſtra rationis participe natura ſeparata. nec ſanè imperium adipiſci noſtræ facultatis eſt; neque retinere, quandiu volumus: ſed quod in ijs accedere poteſt, atque recedere, id demũ noſtræ facultatis eſt, & naturæ proprium, quæ rationis eſt particeps; ſi eam NON SINE RATIONE SE GERERE in ijs, quæ contingũt ASSVESCAMVS; ſed diuinis cõtineri limitibus, quibus omnia noſtra definiri conuenit. Habet igitur hoc loco quod in nobis ſitũ eſt, ideò poteſtatẽ maximam; quòd ijs, quę non ſunt in nobis vti rectè poſſit; & quòd iſtarũ etiã rerũ cupiditate arbitrij vires non opprimãtur. Quænam eſt igitur PRVDENTIS iudicij ſententia? Corpore quidem, & diuitijs, cùm adſunt, rectè vti, & ad virtutis auxiliũ adhibere; cùm autem recedunt, noſſe quid deceat, aliarúmque virtutum præſidio doloris moleſtiam ſuperare. Ita enim & pietas in Deos ſeruabitur, & IVSTITIAE menſura, ſi quod rationis capax eſt, rerum euentis vti rectè atque honeſtè didicerit; ipſáque PRVDENTIAE decreta illis opponere, quæ fortuitò, nullóque ordine ſolent contingere. Aliàs enim minimè virtus obſeruari queat; ſi in natura rationis participe non inſit vis aliqua, quæ rectè ſentiat. Præſtantiora enim, quatenus eiuſmodi ſunt, nec ipſa ſequi poterit; ſed tanquam tyrannorum vi impulſa, afficietur:

ὅσα τῆς λογικῆς ἡμῶν οὐσίας ἔξω κεῖται. οὔτε τὴν ἀρχὴν κτήσασθαι ἐφ' ἡμῖν, οὔτε φυλάξαι ἐφ' ὅσον βουλόμεθα· τὸ δὲ προσγινόμενον, καὶ ἀπογινόμενον αὐτῶν, μετ' ἀρετῆς ἀποδέχεσθαι, καὶ ἀποτίθεσθαι, τοῦτο ἦν ἐφ' ἡμῖν, καὶ τῆς λογικῆς οὐσίας ἴδιον, ἂν ΜΗ ΑΛΟΓΙΣΤΩΣ ΕΧΕΙΝ περὶ τῶν συμβαινόντων ἑαυτὴν ΕΘΙΖΗ, ἀλλὰ τοῖς θείοις ἕπεσθαι μέτροις, οἷς πάντα τὰ περὶ ἡμᾶς ὥρισται. ἐνταῦθα οὖν τὸ ἐφ' ἡμῖν δύναμιν ἔχει μεγίστην, ἐν τῷ εὖ χρῆσθαι περὶ τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μὴ τῇ τούτων προσπαθείᾳ τὴν τοῦ αὐτεξουσίου ἀρετὴν προσαπολέσθαι. ἡ οὖν ἡ ΕΥΦΡΩΝ κρίσις λέγεται, παρόντι μὲν τῷ σώματι, καὶ τῷ πλούτῳ καλῶς χρῆσθαι, καὶ πρὸς ὑπηρεσίαν ἀρετῆς· ἀπιόντων δὲ εἰδέναι τὸ δέον, καὶ πρὸς ταῖς ἄλλαις ἀρεταῖς ἀλυπίαν κερδαίνειν. οὕτω γὰρ " ὅτι καί γε αὖ ἡ πρὸς θεοὺς εὐσέβεια τηρηθήσεται, καὶ τὰ τῆς δικαιοσύνης μέτρα, εἰ τὸν λογικὸν ἐκμάθοι ταῖς περιστάσεσιν εὖ καὶ καλῶς χρῆσθαι, καὶ τοὺς τῆς ΦΡΟΝΗΣΕΩΣ ὅρους ἀντιτιθέναι τοῖς δοκοῦσιν ὡς ἔτυχε, καὶ ἀτάκτως συμβαίνειν. ἄλλως γὰρ οὐκ ἂν ἀρετὴ φυλαχθείη, ἂν μὴ ὀρθοδοξία τις ἐνυπάρχῃ τῇ λογικῇ οὐσίᾳ. οὔτε γὰρ τοῖς γε κρείττοσιν ἕπεσθαι " δύναται, ὡς κρείττοσιν, ἀλ- δυνήσεται λὰ ὡς ὑπὸ τυράννων βιαζόμενος διατεθήσεται

οὔτε τῶν ζώντων λόγον τινὰ ποιήσεται, οὔτε σώματος, ἢ ΧΡΗΜΑΤΩΝ τὴν ἀρίστην οἰκονομίαν ἐξευρήσει ΑΛΟΓΙΣΤΩΣ ΕΧΕΙΝ * ὡς ΕΑΥΤΟΝ ΕΘΙΣΑΣ. ὅρα γὰρ * οἱ δὲ ἅπαντες φεύγοντες τὸν θάνατον, ἢ τὰ ΧΡΗΜΑΤΑ τηρεῖν ἐπιθυμοῦντες, πολλαῖς δὲ ἀνάγκης ἀδικίαις χρήσονται, καὶ βλασφημίαις, ἀρώμενοι μὲν κατὰ θεοῦ ἀνόσια, καὶ προνοεῖσθαι μὴ φάσκοντες, ἐπειδὰν περιπέσωσιν οἷς ἀνοήτως ἔφευγον· ἀφειδῶς δὲ τοὺς ἄλλους ἀδικοῦντες, καὶ τὰ πάντων ἀθροίζειν πειρῶνται πρὸς τὸ ἑαυτοῖς λυσιτελὲς, ὡς οἴονται· καὶ οὕτως ἐκφανὴς ἡ τῆς ψευδοδοξίας ἐν αὐτοῖς γίνεται βλάβη, ὡς τὰ μέγιστα τῶν κακῶν ἐκβλαστάνειν· ἀδικίαν μὲν πρὸς τοὺς ὁμοίους, ἀνοσιότητα δὲ πρὸς τοὺς κρείττονας. ὧν καθαρεύοιεν ἂν ὁ τοῖς προκειμένοις στίχοις πειθόμενος, ὁ τῇ εὐλογίστῳ κρίσει τὸν θάνατον γενναίως ὑπομένων, καὶ τὴν τῶν ΧΡΗΜΑΤΩΝ ἀποβολὴν οὐκ ἀφόρητον ἡγούμενος· ἐξ ὧν καὶ πρὸς ΔΙΚΑΙΟΣΥΝΗΝ ἀφορμὰς λαμβάνει, ὡς δέοι τῶν ἀλλοτρίων ἀπέχεσθαι, καὶ βλάπτειν μηδένα, μηδὲ ὠφέλειαν ἑαυτοῦ τὰς τῶν ἄλλων ποιεῖσθαι συμφοράς. Τούτων δὲ οὐδὲν τηρῆσαι δυνατὸς ἔσται ὁ ΘΝΗΤΗΝ ὑπολαμβάνων εἶναι τὴν ἑαυτοῦ ψυχὴν, καὶ ΑΛΟΓΙΣΤΩΣ

nullámq; , nec vita præditorũ,nec corporis etiã rationẽ habebit;aut FACVLTATVM distribuẽdarum viã,quæ recta sit, inueniet, cùm SINE RATIONE SE GERERE CONSVEVERIT. Vide enim vt qui omnino mortem fugiũt,aut DIVITIAS cupidè venantur, multa necessariò contra ius faciant, multa blasphemẽt;partim quidem nefarijs aduersus Deũ execrationibus vtẽtes,eiúsque prouidentiã abnegãtes, vbi in ea prolapsi sunt, quæ stultè fugiebãt;partim etiam alijs nullam non iniuriã,aut damnũ inferẽtes, & cęterorum omniũ res in suũ commodũ atque vtilitatẽ,quacũque possunt ratione, cõgerere atque vertere conãtes. Atque ita planè manifestum est in illis falsæ persuasionis damnum,quę mala omniũ maxima producat:iniustitiã quidem,aduersus eos,qui sunt generis eiusdem;impietatem autem,aduersus pręstantiores. A quibus erit ille penitus immunis,qui superioribus versibus persuasus mortem fortiter esse ferendam iudicarit ; neque DIVITIARVM amissione dolendum. Sumit porrò ex istis IVSTITIAE colendæ argumentum; cùm ab alienis esse temperandum iudicat : cùm nemini inferendam iniuriam.cùm denique ex aliorum damnis sua non esse comparanda commoda. Quorum nihil ille quicquam obseruare poterit , qui mortalem sibi esse animũ arbitratur,quíque SINE RATIONE

quídnam ſit illud, quod in nobis MORIATVR; quídnam etiam, quod DIVITIIS egeat; quídnam denique, quod VIRTVTEM COLAT, & eadem iuuetur, AGITARE CONSVERIT. Sola enim iſtarum rerum diiudicatio ſtudium COLENDAE virtutis pepererit, & ad honeſtatis comparationem excitarit: ad quam, ex illo NOSCE TEIPSVM; & ex illo etiam, quo ſui quenque pudere præcipitur, diuinus motus eſt. Decet enim ex noſtra dignitate cæterorum etiam officia in FACTIS atque VERBIS ponderare. Fuerit autem officiorum non violata ratio, ſi à IVSTITIA non recedatur: ideóque cæteris virtutibus ea præponitur; vt officiorum menſura exiſtat. IVSTITIAM enim, inquit, COLITO FACTIS, ATQVE VERBIS. Nihil igitur blaſphemum in DIVITIARVM AMISSIONE, aut morborum doloribus dices; ne VERBIS IVSTITIAM violes. Sed nec vicinis etiam bona eripies; aut alijs damna molieris; ne FACTIS etiam pecces contra IVSTITIAM. Si enim animum IVSTITIA tueatur, debita præſtabimus erga Deos; erga homines; erga noſmetipſos etiam. Eſt verò IVSTITIAE menſura optima, PRVDENTIA

ΕΧΕΙΝ ΕΑΥΤΟΝ ΕΘΙΣΑΣ, οὐ μὲν ἔστι
τὸ ἀποθνῆσκον ἡμῶν, καὶ τὸ τῶν ΧΡΗΜΑ-
ΤΩΝ δεόμενον, οὐδὲ τὸ ΑΣΚΟΥΝ
ΤΗΝ ΑΡΕΤΗΝ, καὶ τὸ ἐκ ταύτης ὠ-
φελούμενον. μόνη γὰρ ἡ τούτων διάκρισις προ-
θυμίαν εἰς ΑΡΕΤΗΣ ΑΣΚΗΣΙΝ ἂν
παράσχοι, καὶ πρὸς τὴν τῶν καλῶν κλῆσιν ἐπε- χεί
χεροῖ, ἣν ἡ ἐκ τοῦ, γνῶθι σεαυτὸν, καὶ αἰχμύεο εἰς ἑαυ
σαυτὸν, ἔνθεος ὁρμή. πρὸς γὰρ τὴν ἡμετέραν
ἀξίαν, καὶ τὰ τῶν ἄλλων καθήκοντα παραμε-
τρεῖσθαι δεῖ ἐν ΕΡΓΟΙΣ ΤΕ ΚΑΙ ΛΟ-
ΓΟΙΣ. ἡ δὲ τῶν καθηκόντων τήρησις ἀπαρά-
βατος δικαιοσύνη ἂν εἴη· διὸ καὶ προτέτακται
τῶν ἄλλων ἀρετῶν, ἵνα τῶν καθηκόντων γένηται μέ-
τρον. ΔΙΚΑΙΟΣΥΝΗΝ ΓΑΡ,
φησὶν, ΑΣΚΕΙ ΕΡΓΩ ΤΕ ΛΟ-
ΓΩ ΤΕ. οὐκ οὖν οὐδὲν βλάσφημον ἐρεῖς ἐν
ἀπωλείαις ΧΡΗΜΑΤΩΝ, ἢ νόσων
ἀλγηδόσιν, ἵνα μὴ ἀδικῇς ΕΝ ΛΟΓΩ.
ἀλλ' οὐδὲ τὰ τοῦ πλησίον ἁρπάσῃς, οὐδὲ μηχα-
νήσῃ δυστυχίας ἀνθρώποις, ἵνα μὴ ἀδικῇς ΕΝ
ΕΡΓΩ. ΔΙΚΑΙΟΣΥΝΗΣ τὴν ψυχὴν
φρουρούσης τὰ προσήκοντα ἂν ΠΡΑΤΤΟΙ-
ΜΕΝ καὶ περὶ θεοὺς, καὶ περὶ ἀνθρώπους,
καὶ περὶ ἡμᾶς αὐτούς. τῆς δὲ ΔΙΚΑΙΟ-
ΣΥΝΗΣ τὸ ἄριστον μέτρον ἐστὶν ἡ φρόνησις·

ὅθεν τό, ΔΙΚΑΙΟΣΥΝΗΝ ΑΣΚΕΙΝ ἐπήγαγε, ΜΗΔ' ΑΛΟΓΙΣΤΩΣ ΕΧΕΙΝ ΣΑΥΤΟΝ ΠΕΡΙ ΜΗΔΕΝ ΕΘΙΖΕ· ὡς μὴ δυναμένης ὑποστῆναι ΔΙΚΑΙΟΣΥΝΗΣ ἄνευ φρονήσεως. τοῦτο γὰρ ἐστὶν ὄντως δίκαιον, ὃ ἡ τελεία φρόνησις ὁρίζει. αὕτη δ' αὖ ἀεὶ ἡ περὶ ΜΗΔΕΝΟΣ ΑΛΟΓΙΣΤΩΣ ΕΧΟΥΣΑ, ἀλλ' ἐπεσκεμμένη μὲν περὶ τοῦ θνητοῦ σώματος, ἐπεσκεμμένη δὲ περὶ τῶν εἰς τὴν τούτου χρείαν συντελούντων· πάντα δὲ ἀπμότερα ΑΡΕΤΗΣ πεθεμένη, καὶ μεγίστην ὠφέλειαν τὴν ἀρίστην διάθεσιν τῆς λογικῆς ψυχῆς, ἀφ' ἧς καὶ τὰ ἄλλα κοσμεῖται κατὰ δύναμιν. οὗτος μὲν τῶν προκειμένων ἐπῶν σκοπὸς τὴν τετράδα τῶν πρακτικῶν ἀρετῶν ἀναφᾶναι καὶ παραδοῦναι τοῖς ἀκροαταῖς μετὰ τῆς ἀγρύπνου τηρήσεως τε καὶ παραφυλακῆς τῆς ΕΝ ΛΟΓΟΙΣ ΚΑΙ ΕΡΓΟΙΣ πρεπούσης. τὸ μὲν γὰρ φρόνησιν, τὸ δὲ ἀνδρίαν, τὸ δὲ σωφροσύνην δίδωσι· τὸ δὲ προηγούμενον αὐτῶν, τὴν ἐπὶ πάσαις ταῖς ἄλλαις ἀρεταῖς κοινῶς ἐπιθεωρουμένην ΔΙΚΑΙΟΣΥΝΗΝ ΑΣΚΕΙΣΘΑΙ παραινεῖ· τὸ δὲ ΧΡΗΜΑΤΑ ΑΛΛΟΤΕ ΜΕΝ ΚΤΑΣΘΑΙ ΦΙΛΕΙ, ΑΛΛΟΤΕ ΟΛΕΣΘΑΙ,

ipſa. quo fit, vt IVSTITIAM COLENDAM ESSE adiecerit; NEQVE committendum, vt IN RE VLLA SINE RATIONE NOS GERERE ASSVESCAMVS, tanquam ſine prudentia non queat IVSTITIA ſubſiſtere. Id enim re vera IVSTVM eſt, quod PRVDENTIAE finibus continetur. Fuerit verò PRVDENTIA, quæ NIHIL SINE RATIONE AGIT; ſed mortale quidem corpus, & quæ ad vſum ipſius conferunt, diligenter conſiderat: omnia autem virtute inferiora putans, vtilitatem etiam eſſe arbitratur maximam in optima animi rationis capacis diſpoſitione; à qua & cætera etiam, ſecundum poteſtatis rationem, exornantur. Atque is quidem eorum, quæ ſuperiùs dicta ſunt, ſcopus eſt; virtutes ſcilicet quatuor, quæ ſunt in agendo poſitæ, cura diligenti, atque iuſta obſeruatione IN VERBIS, ATQVE FACTIS, auditoribus aperire, atque proponere. Præcipit enim de PRVDENTIA; de FORTITVDINE: déque TEMPERANTIA: ſed ante omnes de IVSTITIA COLENDA, quam in cæteris omnibus ſpectari communiter atbitratur. Quòd autem FORTVNAS SOLERE QVIDEM ALIAS POSSIDERI, ALIAS AVTEM PERIRE

adijcit;post TEMPERANTIAM sequi etiam liberalitatem demonstrat, quæ in virtutum numero posita circa FACVLTATVM censum, atque sumptum versatur. Eas enim tantùm cùm ratio postulat, vel POSSIDERE, vel expendere, sordium, atque prodigalitatis occasionē pręcidit. At isthæc omnia ab eo, tanquam à fonte & capite primo, quòd sui quenque pudore affici debere monuit, deriuantur. Sed & hoc etiam, quod hoc loco pręcepit, illo ipso continetur, quo SEIPSVM NOSSE quiuis iubetur: quod pręclaras actiones omnes, omnésq; contēplationis atque cognitionis rationes debet anteire. Vnde nāq; pertutbationes esse moderandas; & eorū, quæ sunt, notitiam habēdā docebimur? Dubitatur enim de illis; ptimū quidē, vtrū ea in hominū potestate sita sint: deinde verò, vtrū prosint habentibus. Appatet enim fermè cōtrà, eo inferiorē esse probi viri in hoc vitæ genere conditionem, quòd iniustè non sumit, vnde non decet: & quòd iustè sumpt⁹ facit, in quæ oportet. Est etiā in his, quæ corporis sunt, iniurijs omniū maximè opportunus; qui nec imperium affectet, nec imperantibus aduletur seruiliter. Quò fit, vt nisi natura quædam alia in nobis existeret, quæ virtute iuuaretur; vix diuitias aut principatum simus repudiaturi. Quamobrem & illi etiam, qui animum interire arbitrantur, cùm de appetēda virtute

παρέστησαν ὅτι ἐπὶ τῇ σωφρονικῇ διαθέσει καὶ
ἡ ἐλευθεριότης παρέπεται, ΑΡΕΤΗ οὖσα
περὶ ΧΡΗΜΑΤΩΝ πρόσοδον, καὶ δα-
πάνην. τὸ γὰρ μόνον τότε αὐτὰ ΚΤΑΣΘΑΙ,
καὶ ἀποκλᾶσθαι, ὅτε δίδωσιν ὁ λόγος, μικρολο-
γίας, καὶ ἀσωτίας περιαιρεῖ τὰς ἀφορμάς. ταῦ-
τα δὲ πάντα, ὡς ἀπὸ πηγῆς καὶ ἀρχῆς πρώ-
της, τοῦ ἑαυτὸν αἰσχύνεσθαι προάγεται. τοῦτο δὲ
τὸ παράγγελμα περιείληφεν ἐν ἑαυτῷ, τὸ
σεαυτὸν γνῶθι, ὃ πασῶν μὲν σπουδαίων πρά-
ξεων, πασῶν δὲ θεωρητικῶν γνώσεων προϋπο-
κεῖσθαι δεῖ. ἐπεὶ πόθεν εἰσόμεθα ὅτι προσήκει
ἡμῖν μετριάσαι τῶν παθῶν, καὶ γνῶναι τὰ ὄντα;
ἀπορεῖται γὰρ περὶ αὐτῶν, πρῶτον μὲν, εἰ δυ-
νατὰ ἀνθρώποις ταῦτα. ἔπειτα εἰ ὠφέλιμα
τοῖς ἔχουσι γίνεται. φαίνεται γὰρ " πᾶν τοὐναν- γρ. πῶς
τίον, ἐλαττούμενος ἐν τοῖς κατὰ τὸν βίον ὁ σπου-
δαῖος, τῷ μὴ λαμβάνειν ἀδίκως, ὅθεν οὐ δεῖ, καὶ
τῷ ἀναλίσκειν δικαίως εἰς ἃ δεῖ. καὶ περὶ τὸ
σῶμα παντὸς μᾶλλον εὐεπιχειρήτως διάκει-
ται, μήτε ἀρχὴν αὐτὸς ἐπιτηδεύων, μήτε ἀνε-
λευθέρως θεραπεύων τοὺς ἄρχοντας. ὥστε εἰ
μή τις ἄλλη οὐσία ἐν ἡμῖν εἴη ἀπὸ τῆς ἀρετῆς
ὠφελουμένη, σχολῇ γε ἂν πλοῦτον, ἢ δυναστείαν γρ.
αὐτῆς " προσεξόμεθα. ὅθεν καὶ οἱ θνητὴν οἰό- προη-
μενοι τὴν ψυχὴν, περὶ τοῦ μὴ περιέσεσθαι σόμεθα

τὴν ἀρετὴν, κομψεύονται μᾶλλον, ἢ ἀληθεύουσιν. εἰ γὰρ μὴ εἴη τι ὑπομένον ἡμῶν μετὰ θάνατον, καὶ τοῦτο φύσιν ἔχον ἀληθείᾳ καὶ ἀρετῇ κοσμεῖσθαι, οἷον δὴ φαμὲν εἶναι τὴν λογικὴν ψυχὴν, οὐκ ἂν ἔφεσις ἡμῖν καθαρὰ γένοιτο τῶν καλῶν. περιαιρεῖται γὰρ ἡ ὑποψία τῆς φθορᾶς τὴν περὶ ταῦτα σπουδὴν, καὶ πρὸς ἀπολαύσεις ἄγει σωματικὰς, ὁποῖαι ποτὲ ἂν ὦσιν αὐταὶ, καὶ πόθεν ἂν πορίζεσθαι δύνωνται. πῶς γὰρ ἂν δόξῃ ἔμφρονος εἶναι κατ᾽ αὐτοὺς, ἢ μετρίως καθεστηκότος, μὴ πάντα χαρίζεσθαι τῷ σώματι, δι᾽ ὃ καὶ ἡ τῆς ψυχῆς ὑπόστασις σώζεται οὐκ οὔσης μὲν καθ᾽ αὑτὴν, ἐπιγινομένης δὲ τῇ ποιᾷ διαπλάσει τοῦ σώματος; πῶς δὲ προησόμεθα δι᾽ ἀρετὴν τὸ σῶμα, μέλλοντες καὶ τὴν ψυχὴν αὐτὴν ἅμα τῷ σώματι διαφθείρειν, ὥστε μηδαμοῦ εἶναι τὴν ἀρετὴν, ἧς ἐφέσει τὸν θάνατον ὑπεμείναμεν; ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς τοῖς θείοις ἀνδράσιν ἀποδέδεικται, ὅτι τε ἀθάνατος ἡ ψυχὴ, καὶ ὅτι διὰ μόνης ἀρετῆς κοσμεῖσθαι πέφυκε. νῦν δὲ τὸ παρὸν ἐπισφραγισάμενοι δόγμα, ἐπὶ τὰ ἑξῆς μεταβαίνωμεν, τοσοῦτον τοῖς προειρημένοις ἐπειπόντες, ὅτι ὥσπερ τῇ ἀγνοίᾳ τῆς οὐσίας ἡμῶν πᾶσα ἐπεισρεῖ κακία· οὕτω τῇ ἑαυτῶν γνώσει, καὶ ἀπαξιώσει τῶν μὴ πρεπόντων λογικῇ φύσει, ἡ τῶν καθηκόντων ἀπαραλόγιστος

virtute diſputant, cauillantur potius, quàm veri quicquam aſſerant. Niſi enim aliquid nobis poſt mortem ſubſiſteret, quod veritate atque virtute natura ornari cuperet; (cuiuſmodi eſt proculdubiò anim⁹ rationis particeps) haud ineſſet nobis pura rerũ honeſtarum appetitio. Præfocat enim iſtarum rerum ſtudium ſuſpicio interitus, & auertit ad corporis voluptates, qualeſcunque tandẽ illæ ſint, & vndecunque miniſtrari valeant. Quî enim ex eorum ſententia, prudentis eſſe, aut moderati videatur, non omnia corpori indulgere, propter quod & ipſe animus conſeruetur; cùm per ſe quidem non exiſtat, ſed corporis certæ conformationi accedat? Quî rurſum virtutis nomine corpus proiiciamus, ſi animus ipſe nobis cum corpore ita pereat, vt ne virtus quidem ipſa ſubſiſtat, cuius ſtudio mortem ſuſtinuimus? Sed de rebus iſtis ſatis multa diuini viri: quibus non ſolùm animum eſſe immortalem, ſed ſola virtute ornari etiam demonſtratur. Nunc autem huic diſputationi finem imponentes, ad ea quæ ſequuntur, tranſibimus; ſi prius & iſta ſuperioribus adiecerimus; non aliter quàm naturæ noſtræ ignoratione nullum non malorum genus in nos irrumpit: ita, ſi nos ipſi norimus, eáque reiiciamus quæ naturam rationis participem dedecent; ipſam officiorum nequaquam fallacem

obſeruationẽ vbique reperiri poſſe; in quo ſingularum virtutum menſura poſita eſt. Si enim ad naturam noſtram, tanquam ad regulam, attendamus, idipſum quod decet in omnibus, vitam ex rectę rationis inſtituto, noſtręque naturę congruenter, agentes, inueniemus. Quicquid nanque eſt, quod animum meliorem efficit, id reuera virtus eſt, & philoſophiæ lex. Quæ autem ad humanam ſolùm ſpeciem, atque venuſtatem ſpectant; ſeruiles quædam aſtutiæ ſunt, & virtutum vmbræ, quæ laudẽ apud vulgus venantur, nihilque curant aliud, quàm vt probitatis famam conſequantur. Atque hæc quidem de iſtis. Ex recta porrò rerum cõſideratione ſequitur neceſſariò, vt in his, quę mortalibus ſine ordine videntur cõtingere, NON SINE RATIONE NOS GERAMVS: ſed excuſſis diligẽter eorum cauſſis, ipſa feramus fortiter; nec eos, à quibus noſtri cura geritur, reprehendamus; qui pro dignitate ſingulis, quæ decet, tribuentes, non paribus omnes, quorũ progreſſus eſſent inæquales, affecerint. Quî enim, cùm prouidẽtia mundus regatur: cùm ſit etiã animus natura quidem ſua corruptioni nequaquã obnoxius; ſed voluntate ad virtutem, aut vitiũ feratur; eos liceat æqua non æquis, qui pro meriti ratione legis cuſtodes ſunt, reddere: non autem conuenientem cuique fortunam tribuere, quam in lucem etiã homo prodiens

τήρησις εὑρίσκεται πανταχοῦ. τοῦτο δὲ τὸ κατὰ μέρος ἀρετῆς γίνεται μέτρον. ὡς γὰρ πρὸς κανόνα τὴν οὐσίαν ἡμῶν ἀποβλέποντες, τὸ δέον ἐν πᾶσιν εὑρισκόμεθα κατὰ τὸν ὀρθὸν λόγον συμφώνως τῇ ἑαυτῶν οὐσίᾳ διαζῶντες. πᾶν γὰρ, ὃ ἀμείνονα τὴν ψυχὴν ποιεῖ, τοῦτο ὄντως ἀρετὴ, καὶ φιλοσοφίας νόμος. τὰ δὲ μόνον πρὸς ἀνθρωπίνην εὐσχημοσύνην τείνοντα, δουλοπρεπῆ ἐστι σοφίσματα, καὶ σκιαγραφία τῶν καλῶν τὸν παρὰ τῶν πολλῶν ἔπαινον θηρωμένη, καὶ τοῦ δοκεῖν μόνον αὐτοῦ εἶναι ἀγαθὸν τὴν πᾶσαν ποιουμένη φροντίδα. καὶ ταῦτα μὲν περὶ τούτων. τοῖς δὲ ὀρθοῖς λογισμοῖς ἐξ ἀνάγκης ἕπεται καὶ περὶ τῶν δοκούντων ἀτάκτως κατὰ τὸν βίον συμβαίνειν ΜΗ ΑΛΟΓΙΣΤΩΣ ΕΧΕΙΝ, ἀλλ᾽ εὖ καὶ γενναίως ἀπολογεῖσθαι τὰς τούτων αἰτίας, καὶ φέρειν αὐτὰ μηδὲν ἐγκαλοῦντας τοῖς ἐπιμεληταῖς ἡμῶν, οἳ πρὸς ἀξίαν ἀπονέμοντες ἑκάστῳ τὰ προσήκοντα, οὐ τῶν ἴσων ἠξίωσαν ἅπαντας τοὺς μὴ ὁμοίως προβεβηκότας. πῶς γὰρ προνοίας μὲν οὔσης, καὶ τῆς ψυχῆς ἡμῶν ἀφθάρτου μὲν κατ᾽ οὐσίαν, προαιρέσει δὲ αὐτοκινήτῳ πρὸς ἀρετὴν ἢ κακίαν ὁρμώσης, οἷόν τε τὰ ἴσα τοῖς μὴ ἴσοις τοὺς τοῦ πρὸς ἀξίαν φύλακας νόμου ἀποδιδόναι· ἀλλὰ μὴ τὴν προσήκουσαν ἑκάστῳ ἀπονέμειν τύχην, ἣν καὶ προϊὼν εἰς γένεσιν ὁ αὐτὸς

κληροῦσθαι λέγεται; εἰ οὖν μὴ μῦθος τὸ πρόνοιαν εἶναι ἀπονέμουσαν ἑκάστῳ τὰ πρέποντα, καὶ τὴν ψυχὴν ἡμῶν ἀθάνατον εἶναι· δῆλον ὡς μεταστῆσαι δεῖ τὴν αἰτίαν τῶν ἀλγεινῶν ἀπὸ τοῦ διοικοῦντος ἐφ' ἡμᾶς αὐτούς, ἐξ οὗ καὶ τὸ ἰᾶσθαι τὰ δυσχερῆ δύνασθαι δώσει ὁ λόγος. ἐν ἑαυτοῖς γὰρ εὑρόντες τὰς αἰτίας τοσαύτης ἀνωμαλίας, πρῶτον μὲν τῷ ὀρθῷ τῆς κρίσεως ἐπελαφρυνόμεθα τῶν συμβαινόντων τὸ μοχθηρόν· ἔπειτα ταῖς ἱεραῖς μεθοδίαις, καὶ ταῖς ὀρθαῖς νομοθετήσεσι μεθορμίζοντες τὴν ψυχὴν πρὸς τὸ ἄμεινον, παντελῶς ἑαυτοὺς τῶν ἀλγεινῶν ἐλευθερώσομεν. τὸ δὲ πάσχοντα κακῶς μηδ' αἰσθάνεσθαι τὰς αἰτίας, μηδὲ καταμαντεύεσθαι τοῦ εἰκότος συμβαίνοντος, ΕΑΥΤΟΝ ἘΘΙΣΑΝΤΟΣ ΑΛΟΓΙΣΤΩΣ ΕΧΕΙΝ περὶ παντός, ὃ νῦν ἀπηγόρευσεν ὁ λόγος. ἀνάγκη γὰρ τὸν ἀζητήτως ἔχοντα τῆς ἀληθοῦς αἰτίας, ἐπὶ τὴν κρείττονα οὐσίαν μεταφέρειν τὸ ἔγκλημα, ἢ ὅτι οὐκ ἔστι παντελῶς, ἢ ὅτι οὐκ ἐπιμελεῖται ἡμῶν ὀρθῶς. τὰ δὲ τοιαῦτα δοξάσματα οὐ μόνον τὰ ἐκ προβιοτῆς κακὰ ἐπιτείνει, ἀλλὰ καὶ εἰς πᾶσαν πονηρίαν τὴν ψυχὴν ἐπεγείρει, καὶ τῆς αὐτεξουσίου θεραπείας αὐτὴν ἀποστερεῖ τῷ προστηθέναι λανθάνουσαν τὰς αἰτίας τῶν νῦν δυσχεραινομένων.

sortiri dicitur? Si ergo fabula non est, existere prouidentiam, quæ quod decet singulis retribuat; animúmque nostrum manere immortalem: perspicuum sanè est, eorum caussas, quæ dolorem pariunt, ab eo qui regit, ad nos esse transferendas: vnde & sanari etiam molestiarum vulnera versus demonstrabit. Cùm enim in nobis ipsis tantæ inæqualitatis haberi caussas deprehendimus; primùm quidem iudicij rectitudine ab eorum nos, quæ dolorem pariũt, grauitate subleuamus: sacris deinde artibus admotis, ipsum etiam animum suasionum rectitudine ad meliora prouocantes, omnino molestiis nos eripimus, aque liberamus. Cùm autem qui malè afficitur; nec ad caussas aduertit; nec ex contingentis rei similitudine futuras coniicit: seipsum planè IN OMNI RE SINE RATIONE HABERE ASSVESCIT: quod hoc loco prohiberi videmus. Est enim eum necesse, qui veras caussas nequaquam scrutatur, in naturam superiorem culpam transferre: nullámque omnino vel esse dicere; vel res nostras ab illa malè administrari. At verò quæ sunt eiusmodi opiniones, non vitæ solùm ante actæ mala amplificant; sed animum etiam ad grauiora scelera excitant, eúmque arbitrij cultu eo ipso priuant, quòd præsentium malorum caussas ignorare faciunt.

Verùm, vt quo pacto de istis rebus sentire oporteat, intelligas; audi quod versibus significatur.

17 QVIBVSCVNQVE PORRO INFORTVNIIS DIVINITVS HOMINES ANGVNTVR; 18 PROVT SORS TVA FVERIT, EAM FERTO MODERATE: NEQVE INDIGNARE. 19 DECET VERÒ ETIAM MEDERI; QVANTVM POTES. VERVM SIC HABETO; 20 MAIOREM PARTEM NON OMNINO BONIS FATVM TRIBVERE.

Mortales quæcunque Deis mittentibus angunt;
Vt tua sors tulerit, patiens ne ferre recuses.
Nec spernenda medela tamen. Sed noris & istud;
Parcius ista viris immittere numina iustis.

Antequàm enarrare quicquam adgrediamur, monere oportet, ANGORVM nomine ea nunc intelligi, quæ laboriosam, & difficilem vitæ viam nobis efficiunt; morbum, verbi gratia, paupertatem, liberorum amissionem, dedecus in ciuitate. Hæc enim grauia quidem sunt, nec ad ferẽdum in vita facilia: non mala tamen re vera, nec animo pernitiosa; nisi illorum impulsu ad vitia deflectat: quod in iis etiam, quæ bona videntur, ipse patietur, nisi illis vti rectè statuat;

καὶ πῶς δὲ δεῖ περὶ τούτων φιλοσοφεῖν ἐπάκουσον αὐτῶν τῶν ἐπῶν.

17 ΟΣΣΑ ΤΕ ΔΑΙΜΟΝΙΗ-
ΣΙ ΤΥΧΑΙΣ ΒΡΟΤΟΙ
ΑΛΓΕ' ΕΧΟΥΣΙΝ 18 ΩΣ
ΑΝ ΜΟΙΡΑΝ ΕΧΗΣ,
ΤΑΥΤΗΝ ΠΡΑΩΣ ΦΕ-
ΡΕ, ΜΗΔ' ΑΓΑΝΑΚΤΕΙ.
19 ΙΑΣΘΑΙ ΔΕ ΠΡΕΠΕΙ
ΚΑΘ' ΟΣΟΝ ΔΥΝΗ· ΩΔΕ
ΔΕ ΦΡΑΖΕΥ· 20 ΟΥ
ΠΑΝΥ ΤΟΙΣ ΑΓΑΘΟΙΣ
ΤΟΥΤΩΝ ΠΟΛΥ ΜΟΙ-
ΡΑ ΔΙΔΩΣΙ.

Πρὸ τῆς ἄλλης ἐξηγήσεως ἐκεῖνο προειπεῖν δεῖ, ὅτι ΑΛΓΕΑ νῦν λέγει τὰ ἐπίπονα, καὶ τραχυτέραν ἡμῖν τὴν ὁδὸν τοῦ βίου παρασκευάζοντα, οἷον νόσον, πενίαν, φιλτάτων ἀποβολὴν, ἀδοξίαν ἐν πόλει. ταῦτα γὰρ χαλεπὰ μέν ἐστι, καὶ δυσδιάθετα κατὰ τὸν βίον· οὐ μὴν ὄντως κακὰ, οὐδὲ αὐτῇ τῇ ψυχῇ βλαβερὰ τυγχάνει, ἐὰν μὴ αὐτὴ ἤδη διὰ τούτων εἰς κακίαν ἀποκλίναι, ὃ δὲ ἐπὶ τῶν δοκούντων πάθη ἂν μὴ βουληθεῖσα καλῶς αὐτὰ μεταχειρίζεσθαι·

σῖον ὑγιείαν, καὶ πλοῦτον, καὶ δυναστείαν. ἔστι γὰρ καὶ ἐν τούτοις κακύνεσθαι, καὶ ἐν τοῖς ἐναντίοις ἀρετὴν κτήσασθαι. τὰ δὲ ὄντως κακὰ, τὰ ἐκ προαιρέσεώς ἐστιν ἁμαρτανόμενα, οἷς συνελθεῖν ἀρετὴ φύσιν οὐκ ἔχει. ταῦτα δέ ἐστιν ἀδικία, καὶ ἀκολασία, καὶ πάντα ὅσα τὴν τοῦ καλοῦ σύζευξιν οὐκ ἐπιδέχεται. οὐ γάρ ἐστιν οὐδενὶ τῶν τοιούτων τὸ καλῶς ἐπιφθέγγεσθαι· οἷον, ἀδικεῖ καλῶς· ἀκολασταίνει καλῶς· ὥσπερ ἐπὶ τῶν ἐκτὸς κακῶν λέγομεν, νοσεῖ καλῶς· πένεται καλῶς· ὅταν οὖν, καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ τοιαῦτα φέρῃ ὁ ἄνθρωπος. ταῖς δὲ ψυχῆς πονηρίαις οὐκ ἐπιφέρεται τὸ καλῶς, διότι ἀποστροφαί εἰσι, καὶ ἀποτεύγματα τοῦ ὀρθοῦ λόγου, ὃν φύσει ἐνόντα καὶ ἐγγεγραμμένον αὐτῇ, παρορᾷ ἡ ἀνθρώπου ψυχὴ ὑπὸ τῆς προσπαθείας ἀποτυφλουμένη. τεκμήριον δὲ τοῦ εἶναι τὸν ὀρθὸν λόγον τοῖς ἀνθρώποις, τὸ, καὶ τὸν ἄδικον, ἐν οἷς μηδὲν αὐτοῦ διαφέρει, κρίνειν δικαίως· καὶ τὸν ἀκόλαστον, σωφρονικῶς· καὶ ὅλως, τὸν κακὸν ὀρθαῖς ἐπιβολαῖς χρῆσθαι, ἐν οἷς ἀπροσπαθής ἐστι. διὸ καὶ μεθίστασθαι δύναται ὁ φαῦλος εἰς ἀρετὴν καταγνώσει τῆς προτέρας κακίας. οὐ μὴν διὰ τοῦτο ἐνυπάρχειν δεῖ καὶ τὸν μὴ ὀρθὸν λόγον, ἵνα ἀρχὴ τῶν κακιῶν αὐτὸς γίνηται, ὥσπερ ἐκεῖνος τῶν ἀρετῶν.

sanitate nimirum, diuitiis, atque dominatu. Istis enim etiam licet malè agere; virtutémque adipisci contrariis. Quæ autẽ re vera mala sunt, ea ipsa sunt, quæ voluntate peccantur; quibuscum cõiungi virtus natura non potest. Sunt autem ea, iniustitia, intemperantia; cæteráque omnia, quæ recti, atque honesti cõiunctionem non admittũt. Neque enim huiusmodi quicquam rectè fieri dixeris. verbi gratia; non rectè aliquem iniuriam facere: non honestè libidinari: sicut de malis externis loquimur; cùm rectè ægrotare, rectè item paupertate laborare dicimus; quoties bene atque iustè generis huius aliqua pati hominem significamus. At in animi vitiis ideò rectè non adhibetur, quòd auersiones sint, atque errata rectæ rationis; quam natura sibi insitã atque insculptam hominum animis, cùm sunt perturbationibus occæcati, aspernatur. Inesse autem hominib' rectã rationẽ eo euincitur, quòd qui iniustus est, ea etiam rectè iudicet, quæ ad se nihil attinent: & intemperans temperanter: & malus denique (vt summatim dicam) rectis consiliis in eis rebus vtatur, ad quas nullis antè perturbationib' accedit occupatus. vnde fit, vt qui sit improbus, ad virtutem transire queat; si priorem malitiam auersetur. Nec tamen eam ideò existere etiã oportet, quæ praua ratio dicitur; vt vitiorũ sit ista principium; sicut & illa virtutum.

Sufficit enim præsens recta ratio, tanquam lex in ciuitate, & ad ea, quæ fiunt secundum se, & præter se, diffinienda; & ad probanda quidem alia; alia autem coërcenda. Nec opus est quicquam malorum principio: siue intus lateat; siue foris malè agendi caussam præbeat: sed bonorum autore primo maximè, atque solo, eóque à rationis participibus substantiis separato; Deo videlicet; recta deinde ratione, quæ illis inest; & quæ substantiæ attactu moderetur. Sic se habet igitur malorum distinctio: ex quibus non ea, quæ sunt voluntaria, DIVINAE FORTVNAE arbitrio hominibus distribui significat; verùm calamitosa & affligentia, non iam in nostra potestate posita; sed dudum peccata voluntaria secuta; quæ DOLORE quidem afficiunt, vt diximus; sed à virtute ornatum accipiunt. Nam & paupertatem exornat victus ratio temperans: & generis humilitatem erigit prudentia. Liberorum denique amissionem fert iustus moderatè; istáque potest vsurpare; Obiit filius. Nónne redditus? Et; Sciebam me genuisse mortalem. Similiter verò & reliqua omnia, cùm sunt virtutis pulchritudine cincta, fiunt pulchriora. Deinceps quærat oratio, quæ'nam sint DIVINA INFORTVNIA

ἀρκεῖ γὰρ παρὼν ὁ ὀρθὸς λόγος, ὥσπερ νόμος ἐν πόλει, τά τε κατ' αὐτὸν πραττόμενα, καὶ τὰ παρ' αὐτὸν διορίζειν, καὶ τὰ μὲν ἀποδέχεσθαι, τὰ δὲ σωφρονίζειν. καὶ οὐδὲν δεῖ κακῶν ἀρχῆς, οὔτε ἐνυποκειμένης, οὔτε ἔξωθεν κακοποιὸν αἰτίαν ἐνδιδούσης· ἀγαθῶν δὲ δεῖ ἀρχῆς μάλιστα καὶ μόνης, καὶ τῆς μὲν κεχωρισμένης τῶν λογικῶν οὐσιῶν, οἷός ἐστιν ὁ θεός· τῆς δὲ ἐνυπαρχούσης αὐταῖς, καὶ τῇ κατ' οὐσίαν ἐπαφῇ κυβερνώσης, οἷός ἐστιν ὁ ὀρθὸς λόγος. τοιαύτη μὲν ἡ τῶν κακῶν διάκρισις, ὧν οὐ τὰ προαιρετικά φησιν ἐκ τῆς ΔΑΙΜΟΝΙΑΣ ΤΥΧΗΣ τοῖς ἀνθρώποις ἀπονέμεσθαι, ἀλλὰ τὰ περιστατικά, ἃ νῦν ἐν τοῖς οὐκ ἐφ' ἡμῖν κεῖται, πάλαι δὲ προαιρετικαῖς ἁμαρτίαις ἐπηκολούθησεν, ΑΛΓΕΙΝΑ μὲν ὄντα, ὡς ἔφαμεν, τὴν δὲ παρὰ τῆς ἀρετῆς κόσμον ἐπιδεχόμενα. καὶ γὰρ πενίαν ἐκόσμησε σώφρων δίαιτα· καὶ ταπεινότητα γένους ἐπηνωρθώσατο φρόνησις· καὶ παίδων ἀποβολὴν πράως ἤνεγκεν ὁ δίκαιος βίος, ὁ δυνάμενος εἰπεῖν, τέθνηκε τὸ παιδίον· οὐκ οὖν ἀπεδόθη; καί, Ἤιδειν θνητὸν γεγεννηκώς. ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα τῷ τῆς ἀρετῆς κάλλει περιβληθέντα, γίνεται εὐσχημονέστερα. ἑξῆς δὲ ζητεῖ ὁ λόγος τίνες ΑΙ ΔΑΙΜΟΝΙΑΙ ΤΥΧΑΙ,

καθ' ἃς οἱ βροτοὶ τὰς ἐκτὸς δυσχερείας ἔχουσιν. εἰ μὲν προηγουμένως ἡ θεία κρίσις δίδωσι τῷδε μὲν πλοῦτον, ἑτέρῳ δὲ πενίαν, ΔΑΙΜΟΝΙΑΝ ἔδει ταύτην προαίρεσιν καλεῖν, καὶ μὴ ΤΥΧΗΝ. εἰ δὲ μηδὲν ἐπιστατεῖται τῶν τοιούτων λέξεων, ἀλλ' ὡς ἔτυχε, καὶ αὐτομάτως συμπίπτει, τὸν μὲν εὐτυχῆ εἶναι, ὥς φασι, τὸν δὲ δυστυχῆ· ΤΥΧΗΝ μόνην ἔδει καλεῖν ταύτην, καὶ μὴ ΔΑΙΜΟΝΙΑΝ ΤΥΧΗΝ. εἰ δὲ πρὸς ἀξίαν ἑκάστῳ τὰ προσήκοντα ἀπονέμει ὁ ἐπιτροπεύων θεὸς, καὶ τοὺς μὲν εἶναι τοιούς δὲ ἡμᾶς οὐκ ἔστιν αἴτιος· τοῦ δὲ τὰς ἀμοιβὰς ἀποδοῦναι κατὰ τοὺς θεσμοὺς τῆς δίκης μόνον ἐστὶ κύριος· εἰκότως συνάψας εἶπε ΔΑΙΜΟΝΙΑΣ ΤΥΧΑΣ τὰς τῆς κρίσεως ἀποφάνσεις· εἰ μὲν θεῖον καὶ νοερόν ἐστι τὸ κριτήριον, ΔΑΙΜΟΝΙΑΣ καὶ ἐπιστημονικὰς αὐτὰς προειπών· εἰ δὲ οἰκείᾳ προαιρέσει κακύνεται τὸ κρινόμενον, καὶ διὰ τοῦτο γίνεται τῶν δυσχερῶν τούτων ἄξιον, προσθεὶς τὸ ΤΥΧΑΣ, ὅτι οὐ προηγουμένως τὸν δέ τινα κολάσαι, ἢ τιμῆσαι πρόκειται τῷ θεῷ, ἀλλ' αἰεὶ τὸν τοιόνδε, ἢ τοιόνδε γινόμενον· τούτου δὲ τὴν αἰτίαν ἐν ἡμῖν κεῖσθαι. τὴν μὲν οὖν ἐπιπλοκὴν τῆς ἡμετέρας προαιρέσεως, καὶ τῆς ἐκείνου κρίσεως, ΤΥΧΗΝ ἀπογεννᾶν, ὥστε εἶναι τὸ ὅλον τοῦτο

γρ. μόνον

quibus homines externis molestiis afficiuntur. Si quidem per se alteri quidem diuitias, alteri autem paupertatem, diuinum iudicium tribuit: DIVINAM voluntatem nominari istud oportuit; non INFORTVNIVM. Sin autem nihil huiusmodi nominibus imperat; sed fortuitò & temerè accidit, vt felix iste sit, sicuti dicunt; ille autem infelix: INFORTVNIVM vocare tantummodò istud oportuit; non DIVINVM INFORTVNIVM. Sin porrò Deus arbiter vnicuique tribuit, quod meritis conuenit; neque in caussa est, vt tales ipsi simus; sed eo fine tantùm iustitiam possidet, vt ex præscripto ipsius, gestis paria referat: non immeritò coniunctis nominibus iudicij decreta DIVINA INFORTVNIA nuncupat: siue, (quia diuinũ sit iudicium, atque intelligens) præponendum putarit quod DIVINITATEM atque scientiã demonstret: siue etiam (quòd sponte malitiam idipsum amplectatur, de quo agitur, vnde etiã calamitatib⁹ istis dignum est) INFORTVNIORVM nomen adiecerit, tanquam non ex professo certum hominem vel supplicio, vel præmio afficere Deus statuat; sed eum semper, qui isto se, atque illo modo gesserit; cuius rei caussa non sit extra nos inuestiganda. Itaque voluntatis nostræ, diuiníque iudicij nexum INFORTVNIVM parere; nihilque aliud totum hoc

DIVINVM existere INFORTVNIVM, quàm Dei aduersus peccata calculum. Atque ita artificiosa vocabulorum inuentione Dei curam, animique libertatem, atque immortalitatem simul inducere; neque fato, aut prouidentia fieri penitùs; neque rursus fortuitò, & casu; neque etiam in eodem instituto vitam totam nobis contineri: sed quæcunque potestate nostra peccamus, ea ad voluntatem referri: quæcunque autem scelera sequuntur secundum iustitiæ leges, fatum existere: quæ verò bona à Deo potissimùm mittuntur, prouidentiæ assignari: nihil denique eorum, quæ sunt, ad temerariam, atque fortuitam caussam referre: immò nec eorum quidquam, quæ fiunt; nisi ex euentu, atque nexu eorum, quæ prouidentia, & fatum, ipsáque voluntas per se operantur, primis efficientibus caussis accedat, quod fortuitum nominatur. Exempli gratia: Vult iudex in eum animaduertere, qui cædem perpetrauit; & non in húncce hominem: sed eum etiam supplicio afficit, quem nolebat, quoniam homicidæ locum, atque conditionem sibi assumpsit. Et est quidem iudici ex instituto in homicidam lata sententia; ex euentu autem in húncce hominem, qui spōte personā homicidę subiuit. Et rursum:

ΔΑΙΜΟΝΙΑΝ ΤΥΧΗΝ, τὴν ἐπὶ τοῖς ἡμαρτημένοις θείαν ψῆφον, καὶ συνεισάγει οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν, τήν τε θείαν ἐπιστασίαν, καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς, καὶ ἀθάνατον, καὶ μήτε καθ' εἱμαρμένην, ἢ πρόνοιαν πανταχόθεν γίνεσθαι, μήτε ὡς ἔτυχε, καὶ ἀπὸ ταὐτομάτου, μήτε κατὰ τὸ αὐτὸ προαιρετέον ἡμῖν τὸν βίον τίθεσθαι πάντα· ἀλλ' ὅσα μὲν τοῖς ἐφ' ἡμῖν ἁμαρτάνομεν, ταῦτα εἰς προαίρεσιν ἀναφέρεσθαι· ὅσα δὲ ἐπὶ τοῖς ἡμαρτημένοις κατὰ τοὺς τῆς δίκης ἕπεται νόμους, εἱμαρμένην· τὰ δὲ προηγουμένως παρὰ τοῦ θεοῦ ἐκδιδόμενα ἀγαθά, εἰς πρόνοιαν· εἰς δὲ τὸ εἰκῆ, καὶ ὡς ἔτυχεν, οὐδὲν τῶν ὄντων ἀναφέρειν τὴν αἰτίαν· ἀλλ' οὐδὲ τῶν γινομένων, εἰ μὴ ἄρα κατὰ συμβεβηκός, καὶ κατ' ἐμπλοκὴν τῶν ἀπὸ προνοίας, καὶ εἱμαρμένης, καὶ προαιρέσεως προηγουμένως ἐνεργουμένοις ἐπακολουθήσει τὸ ὡς ἔτυχε τοῖς πρωτουργοῖς αἰτίοις. οἷον φέρε, ὁ δικαστὴς τὸν φονέα κολάζειν βούλεται, καὶ οὐ τόνδε τὸν ἄνθρωπον· κολάζει δὲ καὶ τοῦτον, ὃν οὐκ ἐβούλετο, ὅταν αὐτὸς ἑαυτὸν εἰς τὴν τοῦ φονέως ἐναρμόζῃ τάξιν. καὶ γίνεται προηγουμένη μὲν ἡ κατὰ τοῦ φονέως αὐτῷ ψῆφος· κατὰ συμβεβηκὸς δὲ ἡ κατὰ τοῦδε τοῦ ἀνθρώπου, ὅτι ἑκὼν ὑπέδυ τὸ τοῦ φονέως πρόσωπον. καὶ πάλιν,

ὁ πονηρὸς ἄνθρωπος φονεῦσαι μὲν ἐβούλετο, δοῦναι δὲ ἐπὶ τούτῳ δίκας οὐκ ἤθελεν· ὥστε καὶ ἐπὶ τούτου γίνεσθαι προηγουμένην μὲν φονικὴν διάθεσιν, ὡς ἀπὸ τοῦ αὐτεξουσίου τῆς ψυχῆς ἠρτημένην· κατὰ συμβεβηκὸς δὲ ἐπακολουθεῖν τὰς ἐπὶ ταύτῃ στρεβλώσεις τε, καὶ κακίας. τούτων δὲ πάντων αἴτιος ὁ νόμος ὁ καὶ τῷ δικαστῇ τὴν προαίρεσιν τοῦ κολάζειν τοὺς φαύλους ἐντιθεὶς, καὶ τῷ φονεῖ τὴν τιμωρὸν ψῆφον ἐπάγων. ταὐτὸ δή μοι καὶ ἐπὶ τῆς θείας οὐσίας λογίζου, τῆς προαιρέσεως ἀνθρωπίνης δρᾶσαι κακὰ βουληθείσης, καὶ προαιρέσεως νομοφυλάκων δικαστῶν ἐπανορθοῦσθαι τὰ κακὰ πάσῃ μηχανῇ πειρωμένης, τὴν συνδρομὴν ΔΑΙΜΟΝΙΑΝ ΤΥΧΗΝ ἀποτελεῖν, καθ' ἣν ὁ τὰ τοιάδε εἰργασμένος τῶν τοιῶνδε γίνεται ἄξιος τιμημάτων· τοῦ μὲν προαιρεῖσθαι τὰ φαῦλα εἰς τὸ αὐτεξούσιον τοῦ κρινομένου τὴν αἰτίαν ἀναφέροντος· τοῦ δὲ ἑπομένου τῇ ἀξίᾳ τιμήματος εἰς τὴν τῶν κρινομένων νομοφυλακικὴν ἐπιστήμην. τούτων δὲ συναγωγέα εἶναι τὸν νόμον τὸν ἀγαθὰ μὲν εἶναι κατὰ δύναμιν, φαῦλον δὲ μηδὲν εἶναι διατεταγμένον. ἔστι γὰρ προϋφεστὼς ἐν τῇ τοῦ θεοῦ ἀγαθότητι οὐκ ἐᾷ ἀνευθύνους εἶναι τοὺς κακοὺς, ἵνα μὴ ἐμμένον τὸ κακὸν εἰς ἀναισθησίαν παντελῆ τῶν ἀγαθῶν ἐλάσῃ, ὧν τὴν ἀναγκαίαν ὑπόμνησιν

ædem facere sceleratus volebat quidem; sed pœnas hoc dare nomine, minimè. Itaque & in ipso priùs extitit homicidij quidem institutum, tanquam ab animi libertate dependens; sed inde postea contigit, vt tormenta etiam, atque molestiæ subsequerentur: quorum omnium lex ipsa caussa est, quæ iudici voluntatem improbos atque homicidas damnandi, plectendíque suggessit. Idem planè mihi in diuina natura etiam ipse considera, nempe, cùm voluntas humana quæ mala sunt cupit admittere; eorum autem animus, quibus seruandarum legum cura est, in scelera animaduertere toto conatu nititur, ex eo concursu DIVINVM creari INFORTVNIVM: cuius ratione qui talia admisit, pari animaduersione dignus efficitur: Altero quidem iudicationis caussam ad arbitrij libertatem; quæ vitiosa prætulerit, referente: altero verò ad legalis disciplinæ rationem, quę mulctæ grauitatem in damnatis sequitur. Amborum autem conciliatricem legem ipsam existere; quæ bona quidem vt sint omnia (quantùm potest) statuit; mali autem nihil. Hæc enim cùm antè in Dei bonitate subsistat, non sinit inultos esse malos: ne, si immoretur malitia, boni penitùs obliuionem inducat; cuius necessariam recordationem

eorum iustitia, in quorum tutela leges ipsę sunt, omnibus suppeditat. Eodem igitur lex ipsa eos cõpellit, vti dictũ est, & qui iudices agunt, & qui malorũ sensu coërcendi sunt; vt ex vtrisque peculiare bonum cõficiat. Si enim est pœnas dare, quàm nõ dare, vtilius: sique, vt vitiorum coërceat immensitatem damno pœna afficit: certũ est legẽ, vt iuuet, atque iuuetur, duo ista genera tradere: ipsumque, quod iudicat, tãquam legis curam habeat, alteri pręposuisse: quod autem ita natura comparatũ est, vt peccet, atque iudicetur; idipsum, tãquam ab eo fiat legis violatio, pręstantiori tradere, vt in ipsum animaduertat pro meriti ratione; quo tandem per ea, quæ patitur, in legis cogitationem atque recordationem deueniat. Quam enim malè agendo mortales denegant; eandem appetunt, cùm iniuriam patiuntur. Verbi gratia; Cupit Deum non esse qui facit iniuriam, vt vindictam, quæ veluti Tantali saxum semper imminet, minimè patiatur. At eundem vult esse qui iniuria afficitur; vt eius auxilio aduersus ea, quæ patitur, potiatur. Oportet igitur eos, qui iniuriam inferunt, iniuriæ calamitatem experiri; vt quod in inferenda, auaritiæ morbo occæcati non viderant; id ipsum patiendo addiscant, detrimenti molestia edocti; siquidem rectè multam subeant. Sin autem proteruitate improbitatem tueãtur adhuc;

ἡ παρὰ τῶν νομοφυλάκων δίκη χορηγεῖ. συνάγεται οὖν ὁ νόμος, ὡς εἴρηται, τοὺς πεφυκότας κρίνειν, καὶ τοὺς πεφυκότας κακύνεσθαι, δι' ἀμφοτέρων τὸ οἰκεῖον ἀπεργαζόμενος ἀγαθόν. εἰ γὰρ τὸ διδόναι δίκην, τοῦ μὴ διδόναι ἐστὶ λυσιτελέστερον, καὶ πρὸς σωφρονισμὸν τῆς ἀμετρίας τῶν κακῶν, ἡ δίκη βλάπτει, δῆλον ὅτι πρὸς τὸ ὠφελεῖν καὶ ὠφελεῖσθαι, δίδωσιν ὁ νόμος τὰ δύο ταῦτα γένη· τὸ μὲν κριτικόν, ὡς νομοφυλακικόν, τοῦ ἑτέρου προτάξας· τὸ δὲ ἁμαρτάνειν, καὶ κρίνεσθαι πεφυκός, ὡς παρανομητικόν, τῷ ἀμείνονι παραδοὺς γένει, κατὰ τὴν ἀξίαν αὐτὸ μεταχειρίζεσθαι, ὅπως ἂν εἰς ἀνάμνησιν καὶ ἔννοιαν ἔλθῃ ποτὲ τοῦ νόμου, δι' ὧν πάσχει κακῶς. Ὃν γὰρ ἐν τῷ πράττειν κακῶς ἀπηρνοῦντο, τοῦτον ἐν τῷ πάσχειν κακῶς ἐπιποθοῦσιν οἱ ἄνθρωποι. οἷον, ὁ ἀδικῶν οὐ βούλεται εἶναι θεόν, ἵνα μὴ τὸ διδόναι δίκην, ὥσπερ τινὰ Ταντάλου λίθον ἐπικρεμάμενον ἔχῃ. ὁ δὲ ἀδικούμενος βούλεται εἶναι θεόν, ἵν' ἐπικουρείας, ὧν πέπονθε, τύχῃ. διὸ τοὺς ἀδικοῦντας, εἰς τὸ ἀδικεῖσθαι περιστῆναι δεῖ, ἵν' ὃ μὴ ἔβλεπον ἐν τῷ δρᾶν, τῷ τῆς πλεονεξίας πάθει μεθύοντες, ἐν τῷ πάσχειν μεταμάθωσι τῷ τῆς ἐλαττώσεως ἀνιαρῷ παιδευόμενοι, εἴ γε καλῶς ὑπέχοιεν δίκας. εἰ δὲ τῇ ἰταμότητι τῆς προαιρέσεως ἔτι κακύνοιντο,

αὐτοὶ μὲν ἴσως ἧττον ὠφελοῦνται· παράδειγμα δέ που γίνονται πάντως παιδευτικὸν τοῖς εὖ φρονοῦσι, καὶ αἰσθάνεσθαι δυναμένοις τὰς αἰτίας τῶν τοιούτων παθῶν. ταύτας τῆς κρίσεως ἀρχὰς κυριωτάτας ἀποδεχόμεθα τὴν ἀγαθότητα τοῦ θεοῦ, τὸν ἀπὸ ταύτης νόμον τὸν ἐν ἡμῖν παρανομούμενον ὀρθὸν λόγον, καὶ ὥσπερ τινὰ ἔνοικον θεὸν πλημμελούμενον. ἀποτέλεσμα δὲ τῆς κρίσεως, ΤΑ ΑΛΓΕΑ, ὥς φησι, ταῦτα, ὅσα τραχύτερον ἡμῖν ποιεῖ τὸν βίον ταῖς περὶ σῶμά τε, καὶ τὰ ἐκτὸς λύπαις· ἃ δὴ ΠΡΑΩΣ ΦΕΡΕΙΝ ὁ παρὼν εἰσηγεῖται λόγος ἐνθυμουμένοις τὰς αἰτίας αὐτῶν, καὶ ὅσον οἷόν τε περικόπτοντας, καὶ μετατιθέντας εἰς ὠφέλειαν τὰ δοκοῦντα βλαβερά· μάλιστα μὲν τῶν θείων ἀγαθῶν ἑαυτοὺς ἀξίους παρέχεσθαι διὰ τῆς ἀκροτάτης ἀρετῆς. εἰ δέ τις τούτων οὔπω ἐν ὀρέξει, τῶν γοῦν πολιτικῶν ἀγαθῶν διὰ τῆς μέσης ἀρετῆς τυγχανέτω. τοῦτο γὰρ ἦν, ὃ πρὸς τὸ πάσχειν καλῶς τὰ ΑΛΓΕΙΝΑ, καὶ ΙΑΣΘΑΙ, αὐτὰ ἐπιταττόμεθα. τίς οὖν ἡ ἴασις, ἢ τὰ προειρημένα πάντα, ἀφ' ὧν καὶ ἡ εὐλόγιστος τῶν ἀλγεινῶν ὀδύνη, καὶ ἡ θεραπευτικὴ μέθοδος ὑποδείκνυται; κεφάλαιον δὲ τῶν εἰρημένων, ὅτι ὁ θεὸς νομοθέτης ὢν ἅμα καὶ δικαστής,

minus quidem ipsi fortasse proficiunt; sed exemplo suo, eos proculdubiò, qui sapiunt, quíque eiusmodi morborum caussas nosse queunt, erudiunt. Esse autem ista iudicij principia maximè propria, Dei bonitatem arbitramur; & legem ab eadem manantem; rectam præterea rationem, quæ in nobis est, iniquè violatam, atque, veluti domesticum Deum aliquem, iniuria affectam, & impiè habitam: iudicij autem euentum, ANGORES, vt inquit, istos; quotquot asperiorem nobis vitam corporis molestijs, atque externis efficiunt: quas ferre leniter versus admonet, & ad eorum caussas aduertere diligenter; eásque, quantum possumus, amputare; & quæ noxia videntur, in vsum nostrum atque vtilitatem transferre: maximè verò cælestibus bonis per summam virtutem dignos nos exhibere. Sin autem quis ista nondum appetit; vel saltem ciuilia bona, virtutis ope consequatur. Hoc enim ipsum fuit, quo nos ad DOLORES rectè PERFERENDOS, atque SANANDOS hortatus est. Quænam igitur alia fuerit MEDELA, præter illa, quæ antè dicta sunt; quibus & dolor ipse ærumnarum rationi consentaneus, & sanandi via demonstratur? Est verò eorum, quæ dicta sunt, caput: quòd Deus legislator simul, atque iudex,

eis fauet, quę bona sunt; perdit autem quæ mala: vnde fit, vt malorũ culpa penitùs careat. At eos, qui studijs volũtarijs mali effecti sunt, rectæq; rationis, quam intus habebãt, obliti; tãquam improbos quidẽ ex legis instituto vlciscitur, quæ mala fieri caueat: tanquã homines autẽ, propter accedentem legis nexũ ad voluntatẽ, ꝙ INFORTVNIVM nominamus. Non enim simpliciter hominem, quatenus homo est, lex ipsa vlciscitur; sed qua ratione malus est. Vt autem talis euaderet, caussam primam habuit in propria volũtate positam. Ex quo verò malus effectus est; (quod in nobis situm fuit, non autẽ in Deo) tunc pœnis afficitur; quod in voluntate diuina, nõ autem in nobis est positum. Fuerit porrò scopus legis vnus Deo congruus maximè, hominibúsque vtilis; ipsa vitiorum amputatio, atq; purgatio, admotis quibuslibet iustitiæ castigationib⁹: ipsáque etiã animi ad praua dilabentis, in rectę rationis viam reuocatio. Cùm igitur ita se lex habeat, eadémque semper loquatur; nõ quilibet eadem semper consequitur, qui aliàs aliud, quod compensatione dignum sit, admiserit. Non enim iustum esset istud; neque nobis etiam conduceret. Sed parit iudicij mutationem rei mutatio, quæ iudicatur. Quî enim possit, qui similis non est, iisdem dignus haberi? Sunt igitur AEQVO ANIMO FERENDA

DIVINA

ἐντίθεται μὲν τὰ ἀγαθά, ἀναιρεῖ δὲ τὰ κακά. Διὸ καὶ ταύτῃ κακῶν ἐστιν ἀναίτιος· τοὺς δὲ κακυνθέντας αὐτεξουσίαις ὁρμαῖς, καὶ τὸν ἐν αὐτοῖς ὀρθὸν λόγον ἀμνημονήσαντας, ὡς μὲν κακοὺς κολάζει κατὰ τὸν νόμον τὸν ἀπαγορεύοντα τὰ κακά· ὡς δὲ ἀνθρώπους τῇ ἐπισυσέσῃ ἐπιπλοκῇ τοῦ νόμου πρὸς τὴν προαίρεσιν, ἣν δὴ ΤΥΧΗΝ καλοῦμεν. οὐ γὰρ ἁπλῶς τὸν ἄνθρωπον, ᾗ ἄνθρωπος, κολάζει ὁ νόμος, ἀλλ᾽ ᾗ κακός. τοῦ δὲ κακὸν γενέσθαι, τὴν προτέραν αἰτίαν εἶχεν ἡ προαίρεσις. ἐπειδὰν κακὸς γένηται (ὅπερ ἦν ἐφ᾽ ἡμῖν, ἀλλ᾽ οὐκ ἐπὶ τῷ θεῷ) τότε δίδωσι δίκας, ὅπερ ἦν ἐπὶ τῷ θείῳ νόμῳ, ἀλλ᾽ οὐκ ἐφ᾽ ἡμῖν. σκοπὸς δὲ τοῦ νόμου μόνος ἂν εἴη πρέπων τῷ θεῷ, καὶ ἡμῖν ἐπωφελής, τὸ κόψαι τὴν κακίαν, καὶ ἀποκαθᾶραι τοῖς παντοδαποῖς τῆς δίκης σωφρονισμοῖς, καὶ ἐπιστρέψαι τὴν ἀποπεσοῦσαν τῇ πονηρίᾳ ψυχὴν εἰς ἀνάμνησιν τοῦ ὀρθοῦ λόγου. καὶ οὕτως ἑστῶτος τοῦ νόμου, καὶ τὰ αὐτὰ ἀεὶ φθεγγομένου, τὴν ἀξίαν ἕκαστος ἄλλοτε ἄλλην ποιήσας οὐ τῶν αὐτῶν ἀεὶ τυγχάνει. οὐ γὰρ δίκαιον τοῦτό γε, οὐδὲ ἡμῖν συμφέρον. τὴν δὲ μεταβολὴν τῆς κρίσεως ἡ τοῦ κρινομένου μεταβολὴ δίδωσι. τὸν γὰρ μὴ τοιοῦτον πῶς τῶν αὐτῶν ἐστιν ἀξιοῦν; ΚΑΛΩΣ ΦΕΡΕΙΝ οὖν

τὰς ΔΑΙΜΟΝΙΑΣ ΤΥΧΑΣ δεῖ, καὶ ΜΗ ΑΓΑΝΑΚΤΕΙΝ διδόντα δίκην, καὶ ὅσον ἐπὶ τῇ θείᾳ κρίσει καθαιρόμενον διὰ τῶν δοκούντων ἐμποδίων εἶναι πρὸς εὐπάθειαν τοῦ τῇδε βίου. ὁ δὲ τοιοῦτος λογισμός ΙΑΣΙΣ ΤΕ γίνεται τῶν προημαρτημένων, καὶ ἐπιστροφὴ πρὸς τὸν ἐνυπάρχοντα ἡμῖν λόγον ὀρθόν. πῶς γὰρ ὁ κακίας εἶναι καρποὺς τὰ ἀλγεινὰ τιθέμενος, οὐ φεύξεται τὴν εἰς αὐτὰ κατάγουσαν αὐτὸν αἰτίαν; καὶ εἰ δεῖ χαλεπαίνειν ἐν τοῖς λυπηροῖς, ἑαυτῷ μᾶλλον οἰήσεται δεῖν χαλεπαίνειν, ἢ τῷ κωλύοντι τὴν πονηρίαν θεῷ διὰ τῶν ὀργάνων τῆς δίκης, δι' ὧν ἐπὶ συνεῖναι καὶ ἀναμιμνήσκεσθαι τῶν θείων νόμων, μηδὲ ἑκόντας κακύνεσθαι. οὐ γὰρ ὡς ἔτυχε τὰ ἀλγεινὰ τοῖς ἀνθρώποις διανέμεται, εἴπερ θεός, καὶ δίκης ὅροι προεστήκασιν ἡμῶν, τὴν ἀξίαν ΜΟΙΡΑΝ ἐφ' ἑκάστοις ἐπάγοντες· διὸ καὶ τὸ οὐ ΠΑΝΥ ΤΟΙΣ ΑΓΑΘΟΙΣ ΤΑ ΑΛΓΕΙΝΑ συμπίπτειν εὔλογον. πρῶτον μὲν γὰρ ΟΙΣΟΥΣΙΝ αὐτὰ ΠΡΑΩΣ τῇ εὐαρεστίᾳ τῆς θείας κρίσεως, καὶ τῇ τῆς ἀρετῆς προσκλήσει, δι' ἣν πραότερα μὲν τὰ χαλεπὰ γίνεται. καὶ εὔελπις δὲ τοῦ λοιποῦ ὁ βίος μηδαμῶς ἐνοχλήσειν ἡμᾶς τὰ τοιαῦτα, εἴπερ ἀγαθοῖς γενομένοις.

DIVINA INFORTVNIA: NEC SI AEGRE FERENDVM, qui pœnas luit; quíque, quantum diuino iudicio visum est, iis rebus purgatus est, quæ huius vitæ oblectationem morari videbantur. Fuerit verò isthæc ratiocinatio MEDELA quædam eorum, quæ antè peccata sunt; & ad rectam rationem, quæ in nobis est, conuersio. Quopacto enim qui vitiorum fructus esse calamitates arbitratur; non caussas fugiet, quibus ad illas iter est? Præterea, si in rebus, quæ dolorem pariunt, æquum est exacerbari, sibi potius esse succensendum arbitrabitur, quàm Deo, qui malitiam iustitiæ armis repellat; quibus licet diuinas leges nosse, earúmque recordari; nec nisi sponte malis affici. Non enim fortuitò calamitates distribuuntur hominibus; si Deum nobis præesse, iustitiæque fines regere, atque meritam singulis SORTEM inferre verum est. quo fit, vt quod NON PENITVS BONIS CALAMITATES accidere dixit, veritati consentaneum sit. Primùm enim ista FERENT MODERATE iudicij diuini placito, deinde virtutis adeptione persuasi; cuius auxilio leuiora fiunt, quæ molesta fuerant. Est præterea non vana spes vitam nostram deinceps talibus nequaquam perturbatum iri; si quidem bonis effectis

ipſa ſummæ virtutis adeptione diuina bona nobis recondantur; mediæ autem, humana. SANABVNTVR pręterea & iſta, quantùm poterunt; ſi LEVITER FERENDO, ea curandi rationes didicerimus. Quî enim poſſunt ſacris ſupplicationibus pro Dei dignitate vti, qui prouidentiam atque iuſtitiam humana negant intueri; animúmque noſtrum immortalitate præditum externa iſta quandoque ſortiri, prout ſe voluntariis motibus dignum præbuerit? Qui enim ad iſta SORTEM præſentem non retulerit; vbi eam MODERATE FERENDI occaſionem queat inuenire; vbi etiam MEDENDI artem; dici ſanè non queat. Neque enim ſanè talibus confeſtim datur acquieſcere, tanquam ſint indifferentia, aut contrariis pręſtantiora; quia per ſe ideò fugienda videantur, quòd dolorem pariant atque laborem. quæ autem ſunt eiuſmodi non ſolet natura noſtra admittere, tanquam propter ſe amplectenda; niſi certè boni ſit aliquid, quod ex doloris moleſtia expectetur. Eſt igitur ægreferre neceſſarium, & tędio multo affici, atque ex ea, quam ipſi natura habemus, ignoratione dolores amplificari; & pœnas dare nihilominus: maximam autem nobis improbitatem accerſere,

κατὰ τὴν ἀκροτάτην ἀρετὴν τὰ θεῖα ἀγαθὰ ἡμῖν ἀπόκειται· κατὰ δὲ τὴν μέσην ἕξιν, τὰ ἀνθρώπινα. ἔπειτα καὶ ΙΑΣΟΝΤΑΙ ΚΑΤΑ ΔΥΝΑΜΙΝ τὰ τοιαῦτα ἐξ αὐτοῦ τοῦ ΦΕΡΕΙΝ ΠΡΑΩΣ, τὰς μεθόδους τῆς θεραπείας αὐτῶν διδασκόμενοι. πῶς γὰρ οἷόν τε ταῖς ἱεραῖς ἱκετείαις θεοπρεπῶς χρήσασθαι, μὴ πρόνοιαν καὶ δίκην ἐφορᾶν τὰ ἀνθρώπινα τιθεμένοις, καὶ τὴν ψυχὴν ἡμῶν ἀθάνατον οὖσαν τοιούτων ἑκάστοτε τυγχάνειν τῶν ἔξωθεν, οἵων ἂν ἑαυτὴν ἀξίαν παράσχοιτο ἐκ τῶν προαιρετικῶν κινημάτων; ὁ γὰρ μὴ εἰς ταῦτα ἀναφέρων τὴν παροῦσαν ΜΟΙΡΑΝ, πόθεν που ΠΡΑΩΣ ΦΕΡΕΙΝ αὐτὴν τὰς ἀφορμὰς λήψεται; πόθεν δὲ τοῦ ΙΑΣΘΑΙ τὴν τέχνην; οὐκ ἔστιν εἰπεῖν. δυσαρεστῆσαι μὲν γὰρ αὐτόθεν τοῖς τοιούτοις οὐκ ἔστιν, ὡς ἀδιαφόροις, ἢ ἀμείνοσι τῶν ἐναντίων, ἐπειδὴ παρ' ἑαυτῶν φυκτὰ εἶναι φαίνεται ἀλγεινὰ ὄντα, καὶ ἐπίπονα. τὰ δὲ τοιαῦτα οὐ προσίεται ἡμῶν ἡ φύσις, ὡς διὰ ταῦτα αἱρετά, εἰ μὴ ἄρα ἀγαθόν τι πρὸς δοκούμενον εἴη ἐπὶ τῇ πληπαθείᾳ τῶν δυσχερῶν. ἀνάγκη οὖν δυσχεραίνειν, καὶ δυσαρεστίας ἐμπίπλασθαι, καὶ προσεπιτείνειν τὰ ἀλγεινὰ ἐκ τῆς περὶ τὴν οὐσίαν ἡμῶν ἀγνοίας, καὶ οὐδὲν μὲν ἧττον διδόναι δίκας· τὴν μεγίστην δὲ ἐπικτᾶσθαι κακίαν,

γρ. δι' ἑαυτὰ

ἐὰν ἀπρονόητον τὸ πᾶν, ἢ κακῶς φροντιζόμενον οἰηθῶμεν. τοῦτο δὲ ταὐτόν ἐστι τὸ μὴ οἴεσθαι εἶναι θεόν· ἢ ὄντα μὴ προνοεῖν· ἢ προνοοῦντα μὴ ἀγαθὸν εἶναι, καὶ δίκαιον, ἃ δὴ τῆς παντοδαπῆς ἀδικίας ἐστὶ συνεκτικώτατα, καὶ πρὸς πᾶσαν κακίαν συνωθοῦντα τὸν τοῖς τοιούτοις ἑαλωκότα δοξάσμασιν. ὡς γὰρ ἡ εὐσέβεια μήτηρ τῶν ἀρετῶν ἀνεφάνη, οὕτω καὶ πάσης κακίας ἡγεμὼν ἡ τῆς εὐσεβείας ἀπόπτωσις. μόνος οὖν ἐξευρήσει τούτων τὴν ΙΑΣΙΝ ὁ ΠΡΑΩΣ αὐτὰ ΦΕΡΕΙΝ ἐκδεδιδαγμένος. τοῦτο δὲ διὰ φιλοσοφίας μόνης παραγίνεται ταῖς πάντων τῶν ὄντων οὐσίας ἀκριβῶς ἐπισταμένης, καὶ τὰς ἑπομένας ταῖς οὐσίαις αὐταῖς ἐνεργείας, ὧν εἱρμὸς καὶ σύνταξίς ἐστιν ἡ τῶν ὅλων διοίκησις, ἀφ' ἧς καὶ τὰς ΔΑΙΜΟΝΙΑΣ ΤΥΧΑΣ ἀπονέμεσθαι ἀνάγκη· εἶναι δὲ τὴν ἑκάστῳ ἀπονεμηθεῖσαν ἀξίαν τὴν νῦν λεγομένην ΜΟΙΡΑΝ ἠρτημένην τῆς τε προνοίας τοῦ θεοῦ, καὶ τῆς κοσμικῆς εὐταξίας, καὶ τῆς ἀνθρωπίνης προαιρέσεως. εἰ μὴ γὰρ εἴη θεοῦ πρόνοια, οὐκ ἂν εἴη τάξις ἐν κόσμῳ, ἣν καὶ εἱμαρμένην ἄν εἴποι τις. εἰ δὲ μὴ ταῦτα εἴη, δίκη, καὶ κρίσις τῶν κακῶν οὐκ ἂν γένοιτο. ἀλλ' οὐδὲ τιμὴ καὶ ἀποδοχὴ τῶν ἀγαθῶν. προνοίας δὲ οὔσης, καὶ τάξεως, πάντας ἔδει τοὺς νῦν γινομένους τῶν ἴσων ἀγαθῶν

si mundum prouidentia carere, aut malè administrari existimemus. Fuerit verò istud idem planè, atque Deum non esse putare. vel, si sit, minimè prouidere: vel denique si prouideat, nequaquam bonum & iustum existere. quæ certè nullum non iniquitatis genus complectuntur; cúmque, qui se talibus capi patitur opinionibus, ad scelera quælibet impellunt. Vt enim virtutum mater est pietas in Deos: sic vitiorum omnium dux eiusdem contemptus. Horum igitur MEDELAM solus inuenerit, qui ea FERRE MODERATE didicerit. Id autem Philosophia vna præstiterit, quæ rerum omnium naturas & actiones, quæ naturas ipsas consequuntur, exactè nouerit: quarum series atque ordo ipsa est vniuersotum administratio; à qua DIVINA INFORTVNIA necesse est distribui; nec esse aliud mercedem cuique tributam, quàm SORTEM, de qua nunc sermo est, quæ à Dei prouidentia, mundaníque ordinis præstantia, atque hominum voluntate depẽdeat. Neque enim si non esset prouidentia, ordo ille in mundo existeret, quod fatũ possit aliquis appellare. nec si ista deessent, vlla esset multa, vllúmq; aduersus sceleratos iudicium. Immò nec bonorum præmium, nec cõmendatio. At verò, prouidentia atque ordine existentibus, omnes oportebat, qui iã nascuntur eadẽ bona

SORTIRI;si nihil à seipsis ad inęqualitatẽ cõtulissent. Sed liquet imparẽ eorũ SORTEM existere. Apparet igitur obstare volũtatis nostrę inęqualitatẽ, quę ꝓuidẽtię iudicio subiecta est, quominus ipsis fiat ęqua distributio; cũ ꝓ meriti ratione SORTEM cadere necesse sit. Cęterùm ne nos cõturbet, quòd in brutis quoque animantibus, in plãtis, in his etiã, quę vita destituũtur, eandẽ, quã in hominibus inęqualitatem cernimus. Nõ enim ꝓpterea res nostrę prouidẽtia nõ regũtur, si in illis ista casu cõtingant: vel si in eisdẽ etiã pœna & iudiciũ, virtutísque & vitij insit cõsideratio; cũ exactè adeò fiãt quę ad nos attinẽt. Primùm enim ita se habẽt, quę anima carent, vti cõmunis materia plãtis, brutísq; ipsis, atq; hominibus: Sũt pręterea animalia nõnulla in alimẽtũ data cęteris, atq; hominibus. quo fit, vt eadem inter se faciant, non quòd ad eorum meritũ aduertant, quæ patiuntur; sed vt suã ipsa vel famem placẽt; vel morbũ curẽt: vtq; omnino quod sibi deest, vndecunque facere liceat, consequantur. quo fit, vt cæteris animalibus inde nascatur infelicitatis occasio, quòd ea, si quibus indigemus, vti sese offerunt, in vsum nostrum cõuertimus: felicitatis autem caussa, quam habere videntur, nostra sit erga ipsa animi propensio, atque affectio. Si igitur vlteriùs promouens oratio alios quosdam etiam non deesse præstantiores nobis opponat;

ΤΥΓΧΑΝΕΙΝ, εἰ μηδὲν παρ' ἑαυτῶν εἰς τὴν ἀνισότητα συνετέλεσαν. φαίνονται δὲ οὐ τῶν ἴσων τυγχάνοντες. δῆλον οὖν, ὡς τὸ τῆς προαιρέσεως ἄνισον ὑποβληθὲν τῇ τῆς προνοίας κρίσει, οὐκ ἐᾷ τὴν ἴσην αὐτοῖς ἀπονέμεσθαι ΜΟΙΡΑΝ, εἴγε τὴν πρὸς ἀξίαν ἀνάγκη τυγχάνειν. μὴ ταραττέτω δὲ ἡμᾶς τὸ, καὶ ἐπὶ τῶν ζώων ἀλόγων, καὶ φυτῶν, καὶ αὐτῶν τῶν ἀψύχων τὴν αὐτὴν ἀνωμαλίαν ἐπιφαίνεσθαι, ἣν καὶ ἐπ' ἀνθρώπων. οὐ γὰρ διὰ τοῦτο τὰ καθ' ἡμᾶς ἀπρονόητα, εἴγε ἐκείνοις ταῦτα, ὡς ἔτυχε, συμβαίνει· ἢ καὶ ἐπ' ἐκείνων δίκη καὶ κρίσις, καὶ ἀρετῆς καὶ κακίας ἐκλογισμοί· ἐπεὶ τὰ καθ' ἡμᾶς οὕτως ἠκρίβωται. πρῶτον μὲν γὰρ τὰ ἄψυχα οὕτως ἔγκειται, ὡς κοινὴ ὕλη, φυτοῖς, καὶ ζώοις, καὶ ἀνθρώποις. κοινὴ τροφὴ πρόκειται καὶ ἔνια ζώων ζώοις τε, καὶ ἀνθρώποις. Διὸ καὶ ποιεῖ ταῦτα εἰς ἄλληλα οὐ τὴν τῶν παθόντων ἀξίαν ἐπισκεπτόμενα, ἀλλὰ τὴν αὑτῶν πεῖναν, ἢ τὴν νόσον θεραπεύοντα, καὶ ὅλως τὸ ἐνδεὲς αὑτῶν πληροῦντα, ὅθεν ἂν τοῦτο ποιεῖν ἐξῇ. ὥστε δυστυχίας ἀφορμὴν εἶναι τοῖς ζώοις τὴν ἡμετέραν χρείαν ἐκ τῶν παρατυχόντων πληρουμένην, καὶ τῆς δοκούσης εὐτυχίας αὐτοῖς αἴτιον τὸ παρ' ἡμῶν προσπαθές. εἰ μὲν οὖν προϊὼν ὁ λόγος καὶ ἄλλους κρείττονας ἡμῶν τινας ἀντεισήγαγεν

οὕτως ἀποχρωμένοις ἡμῖν πρὸς πλήρωσιν τῆς ἑαυτῶν ἐνδείας, ὡς ἡμεῖς τοῖς ἀλόγοις φαινόμεθα χρώμενοι· θνητοῖς ἐκείνοις ἔδει ὁμολογεῖν, καὶ φαίνεσθαι τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἐκείνων χρείαν ἀναλισκόμενα. εἰ δὲ μηδὲν τῶν περὶ ἄνθρωπον θνητὸν, ἐπειδὴ καὶ αὐτὸς ἔσχατος ὢν τῶν λογικῶν γενῶν, καὶ διὰ τοῦτο ἀθάνατος, εἰς σῶμα θνητὸν ἐκ περιστάσεως ἔρχεται, καὶ συγγενές τι τοῖς ἀλόγοις ἀναλαβὼν ὄργανον ἐπὶ γῆς πολιτεύεται· οὐδὲν ἂν εἴη τὸ ταῖς ἡμετέραις δυστυχίαις εἰς τὴν ἑαυτοῦ θοίνην ἀποχρησάμενον· οὔκουν οὐδὲ τὸ ἀτάκτως χρησάμενον ἡμῖν προθυμίᾳ πληρώσεως. δίκη τοίνυν καὶ τάξις τοῖς περὶ ἡμῶν ἀθανάτοις τοὺς ὅρους τῆς περὶ ἡμᾶς διοικήσεως νομοθετεῖ ταῦτα μηχανᾶσθαι περὶ ἡμᾶς, ἅ τήν τε ἐνταῦθα κακίαν ἡμῶν ἐλαττοῖ, καὶ πρὸς αὐτοὺς ἐπιστρέφειν ἡμᾶς δύναται. κήδονται γὰρ ἡμῶν, ὡς συγγενῶν, ἐκπεσόντων. ὅθεν αἰδὼς, καὶ νέμεσις, καὶ αἰσχύνη ἀποτρέπουσαι τῶν κακῶν ἀνθρώποις μόνοις ἐπιστρέφεσθαι λέγονται ὀρθῶς. τὸ γὰρ λογικὸν ζῶον μόνον συναισθάνεσθαι τῆς δίκης πέφυκε. τοῖς μεγίστοις οὖν ὅροις διεστῶτας ἡμᾶς ἀπὸ τῶν ἀλόγων, διεστώσῃ πάμπολυ καὶ τῇ διοικήσει χρῆσθαι προσήκει. σύμμετρος γὰρ ταῖς οὐσίαις τῶν ὅλων καὶ ὁ τῆς προνοίας θεσμός. καὶ ὡς ἕκαστα ὑπέστη παρὰ τοῦ δημιουργοῦ θεοῦ,

qui nobis quoque ad eorum, quibus indigent, supplementum abutantur; non aliter quàm & ipsi ratione carētibus vti videmur: mortales illos esse probari oportuit; hominúmque corpora in eorum vsum atque necessitatem impendi. Verùm si nihil est omniũ, quæ homine superiora sunt, morti obnoxium: quoniam & ipse vltimus ex eorum genere, quæ sunt ratione prædita, & ob id immortalis in mortale corpus ex necessitate venit, ibíque assumpto rationis expertibus cognatò organo in terra versatur; nihil esse queat quòd miseriis nostris ad suas epulas abutatur: nihil etiam certè quòd nobis vtatur inordinatè ad cupiditatis expletionem. Fines igitur diis immortalibus, qui nobis præstant, suæ nostri administrationis iustitia atque ordo pręscribunt; vt ea nostro nomine moliantur, quibus hîc minuatur nequitia nostra; & quibus ad ipsos reuerti valeamus. Sunt enim nostri solliciti, tanquam cognatorum, cùm labi nos contigit. Quo fit, vt verecundia, diuináque vltione, atque dedecore homines tantùm à vitiis reuocari rectè dicatur. Solũ enim ꝙ ratione pręditũ est animal iustitiã natura percipit. Nos ergo, q interuallo lõgissimo à brutorũ natura distamus, separatã valde administrationis etiã ratione vti cõuenit. Est enim vniuersi naturis etiã prouidētię lex maximè cõgrua. Sĩgula deĩde qua ratione à Deo opifice

edita sunt, eadem & ipsa prouidentiam sentiunt. Videtur porrò singulos quidē hominū animos ipse produxisse; brutorum autē sola genera; illis naturę fingenti commissis: vti Platoni, Timęóq; Pythagorico visum est; quibus placet nihil eorum, quę morti sunt obnoxia, à Deo immediatè conditū esse: animos autem hominum ex eadem temperatione, qua mūdani Dei, atq; dæmones, ipsique etiam illustres heroes, factos esse: ideóque in singulis hominibus prouidentiā elucere; quomodo ab istis euocētur; quomodo in illa propēdeāt; quomodo hîc degát; quomodo isthinc aliò se conferant: quorū nihil in vita, quæ ratione careat, effici oportuit. Neque enim ad Deum accedit; quę inuitari atque excitari nequeat. Nec potest in terris fungi administratione, quę tanquam planta cęlestis existat. Neque id habet à natura, vt ad astrum aliquod, quocum aptum sit, referatur. Atque hęc quidem in eos, qui casibus humanis indignantur, quíque modis omnibus prouidentiā destruunt, à nobis respōsa sint. Quib⁹ & ista iure possunt adiici, eo ipso videri hominū mores cū ratione cōsentire, quòd res aduersas FERANT MODERATE: nec ea tantùm ratione fieri leuiora, quibus tum nos angi contigit; sed futuris etiam afferri remedium. Vos autem cùm INDIGNAMINI, quid aliud ipsi proficitis; quàm quòd impietatem, malorum omnium grauissimū.

οὕτω καὶ προνοίας ἀξιοῦται. φαίνεται δὲ ἐπὶ μὲν τῶν ἀνθρωπίνων ψυχῶν, ἑκάστην αὐτὸς ὑποστήσας· ἐπὶ δὲ τῶν ἀλόγων μόνα γένη, προτείνων τῇ διαπλαττούσῃ αὐτὰ φύσει, ὡς Πλάτωνι δοκεῖ, καὶ Τιμαίῳ τῷ Πυθαγορείῳ, οὐδὲν μὲν προσεχὲς τῶν θνητῶν δημιούργημα εἶναι τοῦ θεοῦ τιθεμένοις· τὰς δὲ ἀνθρωπίνας ψυχὰς γίνεσθαι ἐκ τοῦ αὐτοῦ κρατῆρος τοῖς τε ἐγκοσμίοις θεοῖς, καὶ τοῖς δαίμοσιν, καὶ τοῖς ἀγαυοῖς ἥρωσι. Διὸ πρόνοια ἐπ' ἀνθρώπων ἐστὶν καθ' ἕνα ἕκαστον, πῶς ἀφίσταται τῶν ἐκεῖ· πῶς πρὸς τὰ τῇδε νεύει· πῶς ἐνταῦθα πολιτεύεται· πῶς αὖ ἐντεῦθεν ἀνακομισθείη ἐκεῖσε· ὧν οὐδὲν δεῖ περὶ τῆς ἀλόγου ζωῆς πραγματεύεσθαι. οὐδὲ γὰρ ἦλθεν ἀδυνατεύσασα ἐπιπορεύεσθαι θεῷ. οὔτε ἐπὶ γῆς δύναται πολιτεύεσθαι, ὡς φυτὸν οὖσα οὐράνιον· οὔτε πρός τι ξύννομον ἄστρον ἀνάγεσθαι πέφυκε. καὶ ταῦτα μὲν πρὸς τὸ παρὸν ἀπολελογήσθω ἡμῖν πρὸς τοὺς δυσχεραντικούς, καὶ πανταχόθεν τὸ ἀπρονόητον κατασκευάζοντας· πρὸς οὓς καὶ ταῦτα εἰπεῖν δίκαιον, ὅτι ἐκ τοῦ ΠΡΑΩΣ τὰ δυσχερῆ ΦΕΡΕΙΝ ὁ ἀνθρώπινος τρόπος εὐλόγιστος ἀναφαίνεται, καὶ πρὸς τὸ παρὸν ἐπελαφρύνων τὰ δυσχερῆ, καὶ πρὸς τὸ μέλλον ἰώμενος. ὑμεῖς δὲ ἀγανακτοῦντες τί καὶ ὀνήσετε, εἰ μὴ μόνον προσθείητε τοῖς πόνοις τὸ μέγιστον

τὴν κακῶν ἀσέβειαν, καὶ αὐτὰ δὲ τὰ χαλεπὰ
τραχύτερα ἑαυτοῖς ἐργάσονται τῷ παρὰ τὴν
ἀξίαν πάσχειν αὐτὰ δοκεῖν; οὐ γὰρ νοσῶν, ἐὰν ἀ-
γανακτῇ ὅτι νοσεῖ, δι᾽ αὐτὸ τοῦτο μᾶλλον νοσήσει;
διὸ οὐδὲ χαλεπαίνειν δεῖ πρὸς τὴν ἀξίαν τῆς
ἀποδόσεως γινομένης, ἵνα μὴ καὶ χειρόνων ἐν
ἕξει γινώμεθα, διὰ τὴν ἐπὶ τοῖς παροῦσι βλά-
σφημον δυσφορίαν. σκεψώμεθα δὲ αὐτὸ καὶ
τῇδε. εἴ τις πενίαν λαβὼν ΠΡΑΩΣ ΦΕ-
ΡΕΙ, πρὸς τῇ ἀπὸ τῆς πραότητος ἀλυπίᾳ,
καὶ ἐξευρήσει τινὰ τοῦ βίου παραμυθίαν· τοῦτο μὲν
τοῦ λογισμοῦ πόρον ἐξευρίσκοντος εὐλόγου δια-
τροφῆς, τὸ μὴ συγκεχύσθαι τῇ λύπῃ· τοῦτο δὲ ἀγα-
μένων αὐτὸν τῶν πλησίον τῆς ἔμφρονος καρτε-
ρίας, καὶ συνεκπορίζόντων, ὅση δύναμις, τὰ
ἀναγκαῖα πρὸς τὸν βίον. ὁ δὲ ΑΓΑΝΑ-
ΚΤΩΝ, καὶ γυναικείως πικραινόμενος,
πρῶτον μὲν ἑκουσίως λύπας προσκτᾶται. ἔπει-
τα προσδεδεμένος τῷ τὴν πενίαν πενθεῖν, ἄπορος
παντελῶς γίνεται οὔτε παρ᾽ ἑαυτοῦ τι σχολά-
ζων εἰς πόρον συμβάλλεσθαι, οὔτε παρὰ τῶν
πλησίον συντελούμενος, ὅσον μὴ ἐλέου χάριν
αὐτῷ τις προσέρριψεν· ὃ πάλιν ἐκ τῆς δια-
θέσεως τοῦ διδόντος ἐπιτείνει τὴν λύπην τῷ εἰς
τοῦτο χρείας καταστάντι. ἐκ πάντων οὖν τῶν
εἰρημένων ΠΡΑΩΣ ΦΕΡΕΙΝ

laboribus vestris adiicitis;eóque dolorē vestrum maiorem efficitis; quòd præter merita torqueri vos existimatis? Annō enim qui morbo afficitur, si eundē ferat acerbiùs, grauiorem faciet? Non est itaque ægreferendum, quod pro meritorum ratione reponitur, ne vrgentium molestiarum acerba reprehensione, deteriorum etiam habitum nobis contrahamus. Consideremus uerò & istud hoc loco: Si quis in paupertatem delapsus ipsam FERAT MODERATE: prҿterquàm quòd ita sibi dolorem adimit; vitæ etiam certam oblectationem nanciscitur: partim quidem, quòd idoneam alimentorum suppeditationem meditando inueniet, si dolore non conturbetur: partim verò, quòd eius prudentiam, animíque robur qui vicini sunt admirantur; & suppeditant ad vitam necessaria, quantùm possunt. At verò, qui INDIGNATVR, cùm muliebri more exacerbatur, primùm quidem dolores sponte sibi accersit: in luctu deinde paupertatis defixus non potest omnino efficere, vt sibi nec à seipso aliquid vacet ad subleuandam inopiam conferre, nec viciniorum contributionibus subleuari; nisi quantum stipis ergò alicui quis proiecerit: quod rursum pro largientis animo, ei, qui in tanta rerum penuria versatur, dolorem auxerit. Patet igitur ex iis, quæ dicta sunt, MODERATE FERENDOS

ESSE casus aduersos, & ADHIBENDA REMEDIA, quantùm possumus, caussásque ipsorum prauis cogitationibus esse adscribendas; neque ignorandum, cùm prouidentia sit, non posse eum negligi, qui bonus nunc existat, quantum libet antiquis diuinę iræ notis compunctus sit. Eadem enim opera, dum virtus acquiritur; & eorum vitatur molestia; & MEDICINA inuenitur, quæ ex sese quidem auxilium aduersus dolorem adferat; à prouidentia autem molestiarum liberationem. Calamitates enim inuexerunt nostra simul iniquitas, & iudicium diuinum; cuius est in sceleratos animaduertere: sed tolluntur eædem percommodè virtute nostra atque prouidentiæ lege, quæ eos malis liberet, qui sponte sua quod bonum est amplectuntur. Tot tantaque adeò ex versibus istis possumus haurire præcepta, quæ ad virtutis institutionem primam conferunt. Videntur enim & prouidentiæ, & fati, libertatísque animi verissimas rationes complecti; quibus molestiam illam, quæ in eorum, quæ cernuntur, dissimilitudine versatur, oratio examinauit; inque omnibus malorum caussam Deum nequaquam existere demõstrauit. Quòd si quis ista superioribus coniũgat, vna omniũ esse ratio videbitur, quæ animi æternitatẽ confirmet. Quòd enim iustitiã esse colẽdã;

δεῖ τὰ συμβαίνοντα. καὶ ΟΣΗ ΔΥΝΑΜΙΣ ΙΑΣΘΑΙ δεῖ, ταῖς διεξόδοις ἐννοίαις τὰς αἰτίας αὐτῶν ἐκλογιζομένοις, καὶ συνορῶντας, ὅτι προνοίας οὔσης, οὐκ ἀμελεῖται ὁ ἀγαθὸς νῦν γινόμενος, κἂν παλαιῶν μιασμάτων ἐφέλκηται στίγματα. κατ' αὐτὸ γὰρ κλᾶσθαι τὴν ἀρετὴν καὶ τὸ ἐπίπονον αὐτῶν διαφεύγει, καὶ τὴν ΙΑΣΙΝ ἐκδοθείσης, παρ' ἑαυτοῦ μὲν βοήθειαν τῆς ἀλυπίας εἰσφέρων, παρὰ δὲ τῆς προνοίας τὴν ἀπόλυσιν τῶν χαλεπῶν κομιζόμενος. ἡ γὰρ ἡμετέρα κακία, καὶ κρίσις θεία ἐμφορουμένη τὴν πονηρίαν, τὰ χαλεπὰ συνεφόρησεν. εἰκότως δὲ ταῦτα λύεται πάλιν ἀρετῇ τε ἡμετέρᾳ, καὶ νόμῳ προνοίας ἀπολύοντι τῶν κακῶν τοὺς παρ' ἑαυτῶν πρὸς τὸ ἀγαθὸν ἐπιδεδωκότας. τοσαῦτα ἂν λάβοιμεν καὶ ἐκ τούτων τῶν ἐπῶν δόγματα πρὸς ἀρετῆς στοιχείωσιν συντελοῦντα. τοῖς γὰρ περὶ προνοίας, καὶ εἱμαρμένης, καὶ τοῦ ἐφ' ἡμῖν, ἀληθεστάτοις λόγοις περιέχοντα ἀναπέφηνε, δι' ὧν τὸ τῆς τῶν φαινομένων ἀνωμαλίας δύσκολον ἀπηύθυνεν ὁ λόγος, καὶ διὰ πάντων ἀπέδειξε τῶν κακῶν ἀναίτιον τὸν θεόν. εἰ δέ τις ταῦτα τοῖς προτέροις ἐπισυνάψειεν, εἷς ἐκ πάντων ἀναφανήσεται λόγος τὴν τῆς ψυχῆς ἀϊδιότητα βεβαιούμενος. τὸ γὰρ δικαιοσύνην ἀσκεῖν,

καὶ γενναίως ἀποθνήσκειν, καὶ περὶ τὰ χρήματα ἐλευθερίως διακεῖσθαι, τῷ μὴ συναποθνήσκειν τῷ σώματι τὴν ψυχὴν μάλιστα χρήζει πρὸς κατασκευήν, ὡς ἤδη εἴρηται. τὸ δὲ τὰς ΔΑΙΜΟΝΙΑΣ ΤΥΧΑΣ ΠΡΑΩΣ ΦΕΡΕΙΝ, ΚΑΙ ΙΑΣΘΑΙ ΔΥΝΑΣΘΑΙ, τοῦ μὴ συγγεννᾶσθαι τῷ σώματι τὴν ψυχὴν νῦν ἐφάνη δεόμενον. ἐκ δὲ ἀμφοτέρων τὸ γενέσεως καὶ φθορᾶς κρείττονα εἶναι τὴν ψυχὴν ἀποδείκνυται, καὶ ἑτέραν οὐσίαν παρὰ τὸ θνητὸν σῶμα αὐτὴν καθ' ἑαυτὴν οὖσαν ἀΐδιον. οὐ γὰρ οἷόν τε ἐστὶν ἀπό τινος χρόνου παρελθόντι εἰς γένεσιν εἰς ἀεὶ διαμένειν· ὥσπερ οὐδὲ τὸ ἐξ ἀϊδίου τὴν ὑπόστασιν ἔχον ποτὲ φθορὰν ἀναδέχεσθαι. εἴπερ οὖν μετὰ τὴν τοῦ σώματος φθορὰν ἡ ἀνθρωπίνη ψυχὴ διαμένουσα δίκης καὶ κρίσεως τυγχάνει, καὶ τῶν ἐπιτηδευθέντων ἐν τῷ βίῳ τὰς πρὸς ἀξίαν ἀμοιβὰς ἀποδέχεται· οὐχ οἷόν τε δὲ εἰς ἀεὶ διαμένειν τὸ ἀπὸ χρόνου γινόμενον· δῆλον, ὡς καὶ πρὸ τούτου ἦν τὸν ἅπαντα χρόνον. καὶ οὕτω τῶν ἀϊδίων δημιουργημάτων τοῦ δημιουργοῦ καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἀνευρίσκεται, ὅθεν αὐτῇ καὶ τῆς θείας ὁμοιώσεως μέτεστιν. ἐπεὶ δὲ καὶ τοῦτο μετρίας ὑπομνήσεως ἔτυχε, καιρὸς ἂν εἴη καὶ τὰ λοιπὰ ἐπισκέψασθαι.

quòd fortiter occumbendum; quòd etiam liberaliter vtendum diuitiis dixit: ad animi immortalitatem asserendam, nec eam simul cum corpore interire, sicuti dictum est, valde conducit. Vt autem DIVINA INFORTVNIA FERREMVS MODERATE; VT ADHIBERI REMEDIA pateremur: iam desiderari videbatur, non esse cum corpore generatum animum. At verò ex vtroque, generatione atque corruptione præstantiorem existere, & à corpore mortali differre, qui ex se æternus sit, demonstratur. Neque enim fieri potest, vt perpetuò maneat, qui sui à tempore aliquo ortus principium duxerit; quemadmodum neque corruptionem vnquam admittere, quod subsistat ab æterno. Si ergo post interitum corporis, eidem superstes animus pœnæ sit atque iudicij particeps; sique eorum, quæ gessit in vita, mercedem pro meritorum ratione percipit; si denique stare perpetuò non valet, quod fieri cœpit aliquando: perspicuum est animum isto prius omni tempore extitisse. Quo fit, vt inter æterna opera, quæ sunt ob opifice Deo condita, animus esse reperiatur, diuinæque similitudinis particeps. Verùm, quia de re ista abundè dictum est; tempus fuerit reliqua etiam considerare.

21 MVLTI HOMINIBVS SERMONES MALI, ATQVE BONI 22 EXCIDVNT; QVIBVS IPSE NEC COMMOVERI DEBES, NEC 23 AVOCARI: SED CEDERE AEQVO ANIMO, SI QVID FALSI DICATVR.

Multus sæpe hominum sermo prauúsque, bonúsque
Excidit. At terrere nihil: nec vertier illo
Tete permittas. Sin falsum dicat; id æquo
Sperne animo. ——

Voluntas humana quia nec virtuti, nec vitio semper inhæret, SERMONES etiam voce edit vtrique inseruientes; tanquam contrarijs suis affectionibus similes. Ideóque fit, vt veri quidem sint alij; alij autem BONI; alij verò mali; alij etiam FALSI. Eget autem varietas ista, iudicandi peritia; vt eos amplectamur, qui sunt præstantiores; deteriores autem reijciamus: vtque nec SERMONVM odio penitus laboremus, malos improbando: nec bonorum etiam studio quoslibet sine discrimine amplectamur. Sequitur enim SERMONIS auersionem ipsa etiam eius priuatio, qui BONVS est:

21 ΠΟΛΛΟΙ Δ' ΑΝΘΡΩΠΟΙΣΙ ΛΟΓΟΙ ΔΕΙΛΟΙ ΤΕ, ΚΑΙ ΕΣΘΛΟΙ
22 ΠΡΟΣΠΙΠΤΟΥΣ', ΩΝ ΜΗΤ' ΕΚΠΛΗΣΣΕΟ, ΜΗΤ' ΑΡ' ΕΑΣΗΣ
23 ΕΙΡΓΕΣΘΑΙ ΣΑΥΤΟΝ. ΨΕΥΔΟΣ Δ' ΗΝ ΠΕΡ ΤΙ ΛΕΓΗΤΕ,
24 ΠΡΑΩΣ ΕΙΚΕ. ἀλλ'. ἴσχ'

Η ἀνθρωπίνη προαίρεσις μήτ' ἐν ἀρετῇ ἀεὶ ἑστῶσα, μήτ' ἐν κακίᾳ, καὶ τοὺς διὰ φωνῆς προϊόντας ΛΟΓΟΥΣ ἐπαμφοτερίζοντας ἀπεγέννησεν, ὡς ἐοικότας ταῖς ἐναντίαις αὐτῆς διαθέσεσι. διὸ τῶν ΛΟΓΩΝ ἐγένοντο οἱ μὲν ἀληθεῖς, οἱ δὲ ΑΓΑΘΟΙ, οἱ δὲ ΚΑΚΟΙ, οἱ δὲ ψευδεῖς. ἡ δὲ διαφορὰ αὐτῶν ἐπιστημονικῆς δεῖται διακρίσεως, ὅπως τοὺς μὲν ἀμείνονας ἐκλεξώμεθα, τοὺς δὲ χείρους ἀποβαλῶμεν, καὶ μήτε μισολογίαν νοσήσωμεν παντελῆ διὰ τὴν τῶν χειρόνων ΛΟΓΩΝ κατάγνωσιν, μήτε ἀδιακρίτως πάντας εἰσδεξώμεθα διὰ τὴν τῶν ἀμεινόνων ἀποδοχήν. ἕπεται γὰρ τῇ μὲν μισολογίᾳ τὸ καὶ τῶν ἀγαθῶν ΛΟΓΩΝ ἑαυτοὺς ἀποστερεῖν·

τῇ δὲ ἀκρίτῳ φιλολογίᾳ τὸ λανθάνειν βλαπτόμενον ὑπὸ τῶν κεκακουργημένων λόγων. φιλολογίαν γοῦν ἀσκήσομεν μετὰ κρίσεως ἀρίστης, ἵνα ἡ μὲν φιλία* ἔχῃ τὸ γένος τῶν ΛΟΓΩΝ· ἡ δὲ κρίσις ἀποθῆται τὸ χείρονα. καὶ οὕτω τὸ Πυθαγορικὸν τηρήσομεν παράγγελμα, μήτε ἐκπληττόμενοι τοὺς πονηροὺς τῶν ΛΟΓΩΝ, καὶ δι' αὐτὸ τοῦτο, ὅτι λόγοι εἰσίν, *ἀκρίτως αὐτοὺς εἰσδεχόμενοι. οὔτε τῶν ΑΓΑΘΩΝ εἰργόμενοι, διότι λόγοι ἦσαν ὁμοίως τοῖς χείροσι. πρότερον μὲν γὰρ οὐχ ᾗ λόγοι, μεταδιώκειντο· ἀλλ' ᾗ ἀληθεῖς. οὐδ' οἱ ἕτεροι καταγινώσκοιντο, ὡς λόγοι· ἀλλ' ὡς ΨΕΥΔΕΙΣ. ἔπειτα κἀκεῖνο εὐθαρσῶς ἂν εἴποιμεν, ὡς μόνον λόγοι εἰσὶν οἱ ἀληθεῖς. μόνοι γὰρ τῆς λογικῆς οὐσίας τὸ ἀξίωμα τηροῦσι, καὶ εἰσὶ γεννήματα ψυχῆς πρὸς τὸ ἄριστον ἀνατεταγμένης, καὶ τὸν οἰκεῖον κόσμον κεκτημένης· οἱ δὲ ψευδεῖς τῶν λόγων, οὐδὲ ΛΟΓΟΙ ὄντως εἰσί. πρὸς γὰρ κακίαν καὶ ψευδοδοξίαν φέροντες, καὶ τὴν εὐγένειαν τῶν ΛΟΓΩΝ ἠρνήσαντο, καί εἰσιν ἠλογημένης ψυχῆς, καὶ πάθεσι συμπεφυρμένης φωναί. μήτε οὖν πάντας καταδέχου, φησίν, ἵνα μὴ καὶ τοὺς ΨΕΥΔΕΙΣ· μήτε πάντας ἀπόβαλε, ἵνα μὴ καὶ τοὺς ἀληθεῖς. ἑκάτερον γὰρ ἄτοπον, τούς τε ἀγαθοὺς μισῆσαι σὺν τοῖς χείροσι, καὶ τοὺς ψευδεῖς

γρ. φιληκοΐα * πᾶν

γρ. ἀκείτως

& audiendi studium temerarium nefariç orationis minùs præuisa iniuria. Rectissimo igitur iudicio SERMONVM studium colendum nobis est; vt nos audiendi quidem cupiditas, ad nullum non genus SERMONVM pertrahat; iudicium autem eos reiiciat, qui sint deteriores. Atque ita Pythagoricũ præceptum seruandum; VT NEQVE MALIS SERMONIBVS COMMOVEAMVR; neque ideò sine discrimine admittamus, quia SERMONES existunt: NEQVE simili ratione BONIS ABSTINEAMVS. Primùm enim non istos ob id amplectimur, quia SERMONES sunt; sed quia veri. nec illos etiam alia ratione, quàm quòd falsi, condemnamus. Ausim præterea confidenter asserere, SERMONVM nomine eos censeri tantùm, qui veri sunt. Soli enim naturæ rationis participis dignitatem retinent, animíque fœtura sunt ad id, quod est optimum, comparati, suúm que ordinem atque splendorem adepti: cõtrà autem, qui falsi sunt, ne SERMONES quidẽ verè existũt. Cùm enim ad vitia ducãt opinionísque falsitatem; à SERMONIS ingenuitate non ipsi tantùm defecerunt, sed sunt animi voces ratione destituti, perturbationibúsq; inuoluti, atque immersi. Neque igitur omnes, inquit, amplectere; ne & MALOS etiã; neque omnes reiice; ne & BONOS. Vtrumq; enim fuerit absurdũ, BONOS odisse cum MALIS: & FALSOS amplecti,

propter veros. At decet quidem laudare BONOS, & vbi admissi fuerint, opere præstare, & quærere vbi, & quovsque veritati consentiant: aduersus eos autem, qui falsi sunt decertandi vim adhibere: qualis ea fuerit, quæ à logica scientia petitur ad veritatis distinctionem. Cùm autem possumus euertere quæ falsa sunt, non violenter, non superbè id facere; sed mansuetè veritatem persequi, lenibúsque reprehensionibus improbare; atque etiam, vti versus ipse loquitur, AEQVO ANIMO CEDERE; SI QVID AVTEM FALSI DICATVR, non ita assentiri se habere, vti dicitur; sed sine iracundia audire. Neque enim quia ei, quod FALSVM EST, AEQVO ANIMO CEDENDVM præcipit; id nos debere amplecti significat; sed audire patienter, neque COMMOVERI, si nonnulli, quamuis homines sint, veritate excidant inutiliter. Patet enim hominum natura varijs opinionum erroribus, cùm notitias communes rectà non sequitur. Nil mirum igitur, inquit versus, si qui nihil veri vel didicerit, vel excogitarit, eò arrogantiæ deuenerit; sique veritati contrarias opiniones afferat: immò contrà, admiratione dignum sit, si qui neque dedicerit, neque,

προσίεσθαι διὰ τοὺς ἀμείνους. δεῖ δὲ τοὺς μὲν ἀγαθοὺς ἐπαινεῖν, καὶ εἰσδεξάμενον αὐτοὺς ἀσκεῖσθαι, καὶ ζητεῖν ὅπῃ, καὶ ἐφ᾽ ὅσον τῆς ἀληθείας ἐφάπτονται· πρὸς δὲ τοὺς ΨΕΥΔΕΙΣ τὴν ἀγωνιστικὴν δύναμιν κινήσασθαι. (αὕτη δὴ ἂν εἴη ἡ χορηγουμένη ἐκ τῆς λογικῆς ἐπιστήμης εἰς διάκρισιν ἀληθείας) δυναμένους δὲ ἀνατρέπειν τὰ ΨΕΥΔΗ, μήτε σφοδρῶς, μήτε ὑβριστικῶς τοῦτο ποιεῖν· ἀλλὰ σὺν παραιτήσει τὴν ἀλήθειαν διώκειν, καὶ μετ᾽ εὐμενῶν ἐλέγχων τὸ ΨΕΥΔΟΣ ἀνατρέπειν, καὶ ὡς αὐτό φησι τὸ ἔπος, ΠΡΑΩΣ ΕΙΚΟΝΤΑΣ· ΨΕΥΔΟΣ ΔΕ ΗΝ ΠΕΡ ΤΙ ΛΕΓΗΤΑΙ, οὐ συγχωροῦντας οὕτως ἔχειν, ὡς λέγεται· ἀλλὰ ἀοργήτως ἀκούοντας. οὐ γὰρ συγκατατίθεσθαι δεῖν λέγει τῷ ΨΕΥΔΕΙ τὸ ΠΡΑΩΣ ΕΙΚΕ· ἀλλ᾽ ἀνεκτικῶς ἀκροᾶσθαι, καὶ μὴ ἐκπλήττεσθαι, εἰ ἄνθρωποι ὄντες τινὲς τῆς ἀληθείας ἀποπεπλώκασιν ἀλυσιτελῶς. φόριμος γὰρ ἡ ἀνθρώπων φύσις πολλῶν διαστρόφων δοξασμάτων, ὅταν μὴ ταῖς κοιναῖς ἐννοίαις ὀρθῶς ἕπηται. οὐδὲν οὖν, φησὶν ὁ λόγος, θαυμαστόν, εἰ ἄνθρωπος μηδὲν τῶν ἀληθῶν μήτε μαθών, μήτε εὑρών, εἰς τοῦτο τῆς ὑπονοίας ἦλθε, καὶ ἔθετο δόξας ὑπεναντίας τῇ ἀληθείᾳ. τοὐναντίον γὰρ ἦν θαυμαστόν, εἰ μήτε μανθάνων,

μήτε ζητῶν, ἤδη αὐτομάτως τῇ ἀληθείᾳ περιέτυχεν, ὥσπερ ἐκ τραγῳδίας ΘΕΩ ΤΙΝΙ παραφανέντι. Δεῖ οὖν συγγνωμονικῶς ἀκούειν τῶν ψευδομένων, καὶ πείρᾳ μανθάνειν οἵων ἡμεῖς ἐκαθάρθημεν κακῶν, τῇ μὲν κοινωνίᾳ τοῦ συγγενοῦς ὑποκείμενοι τοῖς αὐτοῖς πάθεσι, τῷ δὲ ἀλεξικάκῳ τῆς ἐπιστήμης ἐξ ἐναντίας αὐτῶν γενόμενοι. μέγα δὲ συντελεῖ πρὸς πρᾳότητα καὶ τὸ τῆς ἐπιστήμης θάρσος. ἡ γὰρ ἱκανῶς παρεσκευασμένη ψυχὴ πρὸς τὸ καταγωνίσασθαι τὰς ἐκτροπὰς τῆς ἀληθείας, ἀθορύβως οἴσει τὰς ψευδεῖς δόξας, ὡς προεκλελογισμένη πάντα τὰ περὶ τὸ ἀληθὲς ἐν αὐτῇ τοῦ ἀληθοῦς κατανοήσει. τί οὖν ταράξει τοῦτον, ὡς δῆλον; ὄντι δὲ ἰσχυρῷ φαντασίαν παρέξει τούτῳ, ἢ προκατηγώνισται πᾶν τὸ ψεῦδος. οὐ μόνον οὖν ἐκ τῆς ἠθικῆς ἀρετῆς τὴν ἀταραξίαν ἕξει ὁ ἐπιστήμων· ἀλλὰ καὶ ἐκ τοῦ θαρσεῖν τοὺς τοιούτους ἀγῶνας. ταῦτα μὲν περὶ τῆς τῶν ΛΟΓΩΝ ἐπιστημονικῆς διακρίσεως. περὶ δὲ τῆς ἁπάντων ἀνεξαπατήτου ἕξεως, ἣν δεῖ κεκτῆσθαι τὸν ἐπιστήμονα, εὐθὺς ἐπισυνάπτει.

24 —ΟΔΕ ΤΟΙ ΕΡΕΩ ΕΠΙ ΠΑΝΤΙ ΤΕΛΕΙΣΘΩ.

neque etiam quæsierit, veritati temerè occurrat, tanquam Deo alicui in tragœdia apparenti. Decet ergo eos audire cum venia, qui mentiuntur; & periculo facto discere quantis ipsi malis simus erepti; qui generis communione iisdem perturbationibus obnoxij, scientia vindice contraria conditione potimur. Non parùm autem ad lenitatem contulerit ipsa etiam scientię fiducia. Animus enim, qui satis instructus ad expugnāda veritatis diuerticula accedit, intrepidè tulerit falsarum opinionum congressus; tanquam omnia antè agitarit in veri consideratione, quæ possunt contra veritatem afferri. Quid igitur ipsum conturbabit, tanquam eo se explicare non possit? Immò ei, qui potens sit, cogitationes suggeret, quibus omne, quod falsum est, expugnetur. Non solùm ergo ex ea virtute, quæ in moribus posita est, non conturbari discet, qui volet; sed ex eo etiam, quòd intrepidè eiusmodi certamina subeat. Atque hæc quidem de prudenti SERMONVM habendo discrimine præcepta sint. Deinceps de vitandæ fraudis in rebus omnibus ratione, quam decet eum tenere, qui peritus sit, statim subiungit.

34 QVOD AVTEM TIBI DICAM SERVETVR IN OMNI NEGOTIO.

25 NEMO TE NEC VERBIS NEC FACTIS ADDVCAT, VT QVICQVAM 26 FACIAS, AVT DICAS, QVOD TIBI NON SIT VTILE.

Serues sed & hoc, quod dixero, semper:
Ne tibi vel verbo quisquam malè suaserit, aut re,
Vt facias, dicásve, nocens quo tu tibi fias.

Extenditur ad res omnes præceptum hoc; & idem ferè significat, quod superius; vbi dixit,
—Nec quicquam sociis aut testibus, aut te
Solo turpe geras. Sũmus pudor ipse tibi sis.
Qui enim sui verecundia moueri didicerit; neque in solitudine, neque in societate turpe quid audere; atque etiam cogitationem ab eo, propter internæ rationis custodiam, auertere; ille ipse est, qui potest audire; NIL TIBI VEL VERBO QVISQVAM MALE SVASERIT, AVT RE. Solus enim fraudibus non patet, neque potest à quoquam vlla ratione decipi, qui hominis in se prestantiam agnoscens, nec se capi adulationibus patitur, nec minis etiã deiici; quantũuis vel hostes, vel amici, horum proponant quodlibet. Eo enĩ quòd NVLLVS dixit, psonas omnes significauit; & patrẽ, & tyrãnũ, & amicũ, & inimicũ. Sunt verò auocãdi modi,

[25] ΜΗΔΕΙΣ ΜΗΤΕ ΛΟΓΩ ΣΕ ΠΑΡΕΙΠΗ, ΜΗΤΕ ΤΙ ΕΡΓΩ [26] ΠΡΗΞΑΙ, ΜΗΔ' ΕΙΠΕΙΝ, Ο, ΤΙ ΤΟΙ ΜΗ ΒΕΛΤΕΡΟΝ ΕΣΤΙ.

Τοῦτο διὰ πάντων τείνει τὸ παράγγελμα, ἰσοδυναμοῦν τῷ ἄλλῳ που εἰρημένῳ,

Πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ. πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

ὁ γὰρ ἑαυτοῦ αἰδεῖσθαι μεμαθηκὼς, καὶ μήτε ἐν μονώσει, μήτε ἐν κοινωνίᾳ τὴν τοῦ αἰσχροῦ πρᾶξιν ἀνεχόμενος, ἀλλὰ καὶ τὴν φαντασίαν αὐτὴν τοῦ τοιούτου παραιτούμενος διὰ τὸν εἴσω φύλακα λόγον, οὗτός ἐστιν ὁ δυνάμενος νῦν ἀκούειν, ΜΗΔΕΙΣ ΜΗΤΕ ΛΟΓΩ ΣΕ ΠΑΡΕΙΠΗ ΜΗΤΕ ΤΙ ΕΡΓΩ. μόνος γὰρ ἀνεξαπάτητος, καὶ ὑπ' οὐδενὸς οὐδαμῶς εὐπαράλογιστος ὁ τὴν ἀξίαν ἑαυτοῦ γνοὺς ἄνθρωπος, καὶ οὔτε κολακείαις θωπευόμενος, οὔτε τοῖς ἐκδειμαίνουσι ταπεινούμενος, κἂν πολέμιοι, ἢ φίλοι ὁποτεροῦν τούτων προτείνουσιν. ἐν γὰρ τῷ ΜΗΔΕΙΣ, πᾶν πρόσωπον κεῖται, καὶ πατὴρ, καὶ τύραννος, καὶ φίλος, καὶ ἐχθρός. οἱ δὲ τρόποι τῆς παραγωγῆς,

ἢ διὰ ΛΟΓΩΝ, ἢ ΕΡΓΩΝ γίνονται. λόγῳ μὲν θωπευόντων, ἢ ἀπειλούντων· ἔργῳ δὲ, δωρεὰς ἢ τιμωρίας προτεινόντων. πρὸς πάντα δὴ ταῦτα τετειχισμένην δεῖ τὴν ψυχὴν ἔχειν τῷ ὀρθῷ λόγῳ πρὸς τὸ ἀμείλικτον, καὶ ἀδούλωτον ὑπὸ τοῦ ὁπωσοῦν ἔξωθεν προσαπτόντων ἡμῖν ἡδέων τε καὶ λυπηρῶν. ὁ γὰρ ὀρθὸς ἐνυπάρχων λόγος σωφροσύνην, καὶ ἀνδρείαν ἑκατέρωθεν παραστήσας τῇ ψυχῇ τοὺς ἀδαμαντίνους φύλακας, ἀνεξαπατήτους ἡμᾶς διατηρήσει καὶ ἀπὸ τῆς τῶν προσηνῶν θωπείας, καὶ ἀπὸ τῆς φοβερῶν καταπλήξεως, οἷς ἐπιγίνεται δικαιοσύνη ἀκριβὴς, ἣν παρήγγειλεν ἄνω που ἀσκεῖν ἔργῳ τε λόγῳ τε. οὕτω μὲν οὖν οὐδεὶς οὐδαμῶς ἡμᾶς ἀναπείσει ἢ ΛΟΓΟΝ προέσθαι, ἢ ΕΡΓΟΝ διαπράξασθαι, ὃ μὴ τῷ ὀρθῷ λόγῳ ἐστὶ σύμφωνον. εἰ γὰρ πάντων μάλιστ' αἰσχυνοίμεθ' ἑαυτοὺς, δῆλον ὡς οὐδεὶς ἡμῖν αἰδεσιμώτερος ἡμῶν αὐτῶν φανήσεται, οὐδὲ φοβερώτερος ὡς προκαλέσασθαι παρὰ τὸ δέον εἰπεῖν, ἢ πρᾶξαι. ἐπιβλαβὲς γὰρ τῇ ψυχῇ ἑκάτερον. τὸ δὲ ἐκείνῃ βλαβερὸν, τοῦτο καὶ ἡμῖν ἀσύμφορον· ἐπείπερ ἡμεῖς ἡ ψυχή. ἀκριβῶς οὖν ἀκουστέον τὸ, Ο, ΤΙ ΤΟΙ ΜΗ ΒΕΛΤΕΡΟΝ ΕΣΤΙ. κατ' ἐκείνου φέροντες τὴν αἰτωνυμίαν τοῦ οἷος κυρίως ΣΥ εἶ.

aut VERBIS aut FACTIS. VERBIS quidem, vel blandiendo; vel minitando. FACTIS verò, vel munera, vel supplicia proponendo. Decet ergo aduersus ista omnia recta ratione bene munitum habere animum; vt nec voluptatibus, nec doloribus, quæ nos modis omnibus adoriuntur, moueatur, atque in seruitutem redigatur. Recta eum ratio, quæ intus est, cùm animo vtrinque temperantiam atque fortitudinem custodes inexpugnabiles adhibuerit, imperterritos nos præstiterit; nec ab assentationum blanditiis immunes tantùm; sed à terrorum metu etiam: quibus efficitur exactum illud iustitię genus, de qua superiùs loquens, eam re atque verbo colendam esse monuit. Sic ergo nullus omnino aut VERBVM emittere, aut OPVS aliquod efficere nobis suaserit, quod rectæ rationi non consentiat. Est enim perspicuum; si omnium maximè nostri nos pudeat, nobis neque verecundiorem, neque timidiorem visum iri neminem, vt ad aliquid DICENDVM, vel FACIENDVM pręter debitũ inducamur. Est enim vtrunq; animo NOXIVM. Quod autẽ ipsi damnosum est, idipsum & nobis etiã inutile; qui animus ipse simus. Est igitur ad illud aduertendũ diligenter; quod dixit, QVOD TIBI NON SIT VTILE: vtque prouocabulum ad id referatur, quod TV propriè existas.

Si idipsum est ergo, quod significatur, NEC FACTIS, NEC VERBIS CVIVSQVAM adduci debere nos, vt ALIQVID AVT FACIAMVS, AVT DICAMVS, QVOD INVTILE NOBIS SIT: TV autem animus es rationis particeps; haud cum patieris, si rectè sapis, qui tibi naturæ rationis participi damnum inferat. Es enim IPSE animus; hoc autem corpus tuum: illa autem extra corpus. Ita enim separando, naturarum confusionem vitabis: & quid sit humana natura inueneris: si nec corpus, nec quæ extra sunt, tua existimaueris; sique nec ipsorum nomine, tanquam tuo, decertaueris; ne ad corporis, aut diuitiarum cupiditates pertraharis. Omnino enim cùm quid simus, ignoramus; & illa etiam, quorum curam ipsi agimus, non intelligimus; quorumliber magis, quàm nostri ipsorum curam gerentes; quorum prima atque præcipua cura deberet existere. Si enim quod corpore vtitur, animus est; sique instrumenti loco corpus habet; instrumenti autem gratia, alia etiam, propter fluxam eius naturam, in subsidium inuenta sunt: certum est eius, quod omnium princeps sit, atque caput, curam primam, atque pręcipuam, esse debere: secundam autem, eius, quod primum sequitur. Quo fit, vt valitudinis ratio sapienti minimè negligenda sit; non vt corpori primas tribuat;

ἐὰν οὖν τὸ λεγόμενον, ΜΗΔΕΙΣ ΜΗΤΕ δὴ ΕΡΓΩΝ, μήτε διὰ ΛΟΓΩΝ παραλογίσηταί τι ΠΟΙΗΣΑΙ, ἢ ΕΙΠΕΙΝ ὅ, τι ΜΗ ΣΥΜΦΕΡΟΝ ΕΣΤΙ ΣΟΙ· ΣΥ δὲ ἴσθι ἡ λογικὴ ψυχὴ ὡς ἀνέξῃ, ἐὰν εὖ φρονῇς, τοῦ παραβλάπτοντος σὲ τὸν ὄντα λογικὴν οὐσίαν. σὺ γὰρ εἶ ἡ ψυχή. τὸ δὲ, σῶμα σόν· τὰ δὲ, ἐκτὸς τοῦ σώματος. ἐκ γὰρ τῆς διαστάσεως ταύτης καὶ τὸ ἀσύγχυτον τηρήσεις τῶν φύσεων· καὶ τὴν ἀνθρωπίνην οὐσίαν, ἣν ὡς ἐστὶν εὑρήσεις, οὐδέποτε τὸ σῶμα, οὐδὲ τὰ ἐκτὸς αὐτοῦ εἶναι τιθέμενος, οὐδ' ὑπεραγωνιῶν τούτων, ὥσπερ σαυτοῦ, ἵνα μὴ πρὸς φιλοσωματίαν, καὶ φιλοχρηματίαν καθελκυσθῇς. ὅλως γὰρ ὃ ἐσμὲν ἀγνοήσαντες, καὶ ὧν ἐπιμέλειαν ποιούμεθα συναγνοήσομεν, πάντων μᾶλλον ἐπιμελούμενοι, ἢ ἡμῶν αὐτῶν, ὧν δεῖ προηγουμένην ποιεῖσθαι τὴν ἐπιμέλειαν. εἰ γὰρ τὸ χρώμενον τῷ σώματί ἐστιν ἡ ψυχή. τὸ δὲ σῶμα ὀργάνου τάξιν ἐπέχει πρὸς αὐτήν· τοῦ δὲ ὀργάνου χάριν τὰ ἄλλα πρὸς βοήθειαν τῆς ῥεούσης αὐτοῦ φύσεως εὕρηται· δῆλον ὡς τοῦ ἡγουμένου, καὶ πρώτου, προηγουμένην τε, καὶ πρώτην δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν· δευτέραν δὲ τὴν τοῦ δευτέρου. ὅθεν οὐδὲ ὑγιείας ἀμελήσει ὁ σοφὸς, οὔτι προηγούμενον τὸ σῶμα δοξάζων·

διὰ πρὸς τὴν τῆς ψυχῆς χρείαν αὐτὸ παιδαγωγῶν, ὅπως ἂν ταῖς ἐνεργείαις αὐτῆς ἀνεμποδίστως ὑπακούῃ, καὶ ἐκ τρίτου τῶν τρίτων ἐπιμεληθήσεται, οἰκονομῶν τὰ ἐκτὸς πρὸς τὴν τοῦ ὀργάνου σωτηρίαν. πρότης οὖν τῆς ψυχῆς, τάχα δὲ μόνης ἐπιμελήσεται, εἴπερ ἡ τῶν μετ' αὐτὴν ἐπιμέλεια πρὸς τὴν ταύτης προσκοπὴν τείνει. πᾶν δὲ τὸ παρὰ τὴν ἀρετὴν, τοῦτο ἦν, Ο, ΤΙ ΤΟΙ ΜΗ ΒΕΛΤΕΡΟΝ ΕΣΤΙΝ· ᾧ γὰρ συμφέρον ἡ ἀρετὴ, τοῦτο τὸ παρ' ἐκείνην ἀσύμφορον. [γρ. τούτῳ] κύκλον οὖν περιβάλλεσθαι συμβουλεύει τῶν ἀρετῶν φυλακτικόν. ὁ μηδὲν πείθεσθαι δεῖν λέγων τῷ πειρωμένῳ τῆς ἀρετῆς ἀπάγειν, δι' οἵων [γρ. σὲ] ἂν ἔργων ἢ τῆς πρὸς τὸ χεῖρον ἐκτρεπούσης πειθοῦς προσαγάγῃ τὴν πεῖραν· οἷον, μὴ ὑποσχέσεις προσάγων τύραννος, ἢ ταύτας ΕΡΓΩ βεβαιῶν· μὴ ἀπειλαῖς θορυβῶν, ἢ αἰκίαις βιαζόμενος· μὴ φίλιον πρόσωπον τῇ οἰκειότητι τὴν ἀπάτην ἐπικρυπτόμενον ἀπαγάγηται τοῦ συμφέροντος τῇ ψυχῇ. ἦν δὲ ἀλήθεια καὶ ἀρετὴ τὰ ταύτην ὠφελοῦντα μόνα. ἀνεξαπάτητος δὲ ἔσῃ εἰ τὴν οὐσίαν τὴν σαυτοῦ γνοίης ἥτις ποτέ ἐστι, καὶ ᾧ φύσει ἔοικε, τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως ἀεὶ τὴν ἐπιμέλειαν ἔχῃς· πᾶν δὲ τὸ τῆς ὁμοιώσεως παράγον μεγίστην ἡγοῖο ζημίαν. τοῦτο γὰρ ἦν, Ο,ΤΙ ΤΟΙ ΜΗ ΒΕΛΤΕΡΟΝ ΕΣΤΙ,

ſed vt ipſum animi vſib⁹ accommodet; quo ipſius operationibus nullo repugnante obtemperet: tertio verò loco eorum curam ſuſcipiat, quæ tertia ſunt; eáque præſtet, quæ foris ſunt, ad inſtrumenti ipſius cõſeruationem. Animi igitur, tãquam principis, atque adeò ſolius fortaſſe, curam habebit: ſi rerũ cura, quæ ipſam ſequitur, ad eius commoda referatur. Eſt verò id omne, quod præter virtutem eſt, eo ipſo ſignificatum, quod TIBI NON SIT VTILE, poſtulat. Cui enim emolumento virtus eſt; eidem fuerit & damno quod eſt à virtute alienum. Cenſet igitur orbem eſſe circumagendum ad virtutum cuſtodiam, cùm nihil ei credendum pręcipit, qui te à virtute conatur auertere, quibuſcunque modis conetur ad nequiora pertrahere: verbi gratia; ne ſi promiſſis agat tyrannus, aut ea REBVS comprobet; ſi minis terreat, aut cruciatibus vrgeat; ſi perſona etiam amica familiaritatis ſpecie fraudem occultet; ab eo, quod conducit animus auocetur. Conducunt autem ipſi veritas tantùm atque virtus. Fies porrò qualibet fraude ſuperior, ſi ſubſtantiam tuam minimè ignorans, quæ'nam ſit, & cui natura ſimilis; imaginis eius, quã gerit, curam ſemper habueris: id autem omne, quod à ſimilitudine auocat, damnum eſſe maximũ exiſtimaueris. Eſt enim illud ipſũ, QVOD TIBI NEQVAQVAM VTILE EST;

per quod tu arceris à diuina similitudine. Quoniam verò idipsum nobis VTILIVS est, quod cōfert ad eiusmodi similitudinē; quid quisquā afferat, quod tāti sit, vt nos à studio diuinæ similitudinis auocet? Num pecuniarum largitionē? num ablationē? Atqui didicimus eas iusta ratione & appetere & reijcere. Neque nos latet, quàm sit incerta ipsarum possessio. Quid enim; si isto modo non adimantur; & fortiter illarum tuleris amissionem; fur eas non auferet? At enim quàm variis modis aliis diuitiarū contingit amissio? Horum ipsi vnam etiam rationem virtutis nomine agitemus, spontaneam paupertatem honestati coniunctam cum diuitiis commutantes, eásque iusta de caussa exuentes, & tanti virtutem redimentes, quantum nobis ille adferat detrimenti, qui ab ea dimouere nos conetur. Cæterùm tormenta adhibebit, & mortem. At fuerit non difficile respondere; nos esse ista nequaquam passuros, si quod nostrum est, tueamur; sed corpus fore, quod iniuriam patiatur: & quia mortale sit, nihil præter naturam suam toleraturum. Est enim natura morti obnoxium, & sectioni, iniuriísque aliis innumeris; quas quilibet morbus magis, quàm tyrannus potest inferre. Quid ea igitur fugimus, quæ vitare ipsi non possumus? Cur potius ea non seruamus, quæ seruandi potestatem habemus?

τὸ τῆς θείας ὁμοιώσεως ἀπάγον. ἐπειδὴ δὲ ΒΕΛΤΕΡΟΝ ἡμῖν, τὸ πρὸς τὴν τοιαύτην ὁμοίωσιν, τί οὖν προστάξει τις ἱκανὸν ἀποστῆσαι ἡμᾶς τῆς πρὸς θεὸν ὁμοιώσεως φιλοσοφίας; χρημάτων δόσις; ἢ ἀφαίρεσις; ἀλλὰ μεμαθήκαμεν μετὰ τοῦ ὀρθοῦ λόγου καὶ προσίεσθαι αὐτὰ, καὶ ἀποτίθεσθαι· καὶ τὸ ἄστατον τῆς κτήσεως αὐτῶν ἡμᾶς οὐ λανθάνει. τί γὰρ ἂν μὴ οὕτως αὐτὰ ἀφέληται, καὶ γενναίως αὐτῶν ὑπομείνω τὴν ἀποβολὴν, κλέπτης αὐτὰ οὐκ ἀφαιρήσεται; πόσοι δ' ἄλλοι τρόποι διαφθορέων χρημάτων ἐπάγουσιν; ὧν ἕνα καὶ τὸν ὑπὲρ ἀρετῆς λογιούμεθα λόγον, ἑκουσίαν πενίαν μετὰ τοῦ καλοῦ ἀνταλλαττόμενοι*, καὶ μετ' εὐλογίστου αἰτίας αὐτὰ ἀποδυόμενοι, καὶ τοσοῦτον τῆς ἀρετῆς ὠνούμενοι, ὅσον ἂν ἡμᾶς βλάπτῃ ὁ τοιοῦτος περιγενεῖν ἐπιχειρῶν. ἀλλὰ σχεβλώσεις προσοίσει, καὶ θάνατον. πρόχειρον οὖν πρὸς ταῦτα ἀποκρίνεσθαι· ὡς οὐχ ἡμεῖς ταῦτα πεισόμεθα, ἐάν γε τὸ ἡμέτερον τηρῶμεν· ἀλλὰ τὸ σῶμα ἔσται τὸ ὑβριζόμενον. τὸ σῶμα τὸ ἀποθνῆσκον, οὐδὲν παρὰ φύσιν τὴν ἑαυτοῦ πάσχον. φύσει γάρ ἐστι θνητὸν, καὶ τμητὸν, καὶ μυρίοις ὑποκείμενον πάθεσιν, ἃ προσάγειν μᾶλλον ἡ τυχοῦσα νόσος ἐπήγαγε. τί οὖν φεύγομεν, ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν φεύγειν; οὐ τηροῦμεν δὲ μᾶλλον, ἃ ἔστιν ἐφ' ἡμῖν τηρῆσαι;

* χρήμασι.

τὸ γὰρ θνητὸν φύσει καταδεδικασμένῳ θανά-
τῳ οὐκ ἔστιν ὅπη οὖν ποιοῦντας ἐξῶσαι τοῦτο· τὸ
δὲ ἀθάνατον ἡμῶν, ὅπερ ἐστὶν ἡ ψυχὴ, καὶ ἡμεῖς,
κ' ἡμεῖς δυνατὸν ἀρετῇ κοσμῆσαι μὴ μαλακισθέντας
περὶ τὸν ἀπειλούμενον θάνατον. ὃν εἰ μὴ μετ'
εὐλόγου αἰτίας ὑπομείνομεν, κοσμήσαιμεν τῇ
ὀρθῇ προαιρέσει τὴν ἀνάγκην τῆς φύσεως. Ταῦτα
δή ἐστι τὰ μεγάλα, ὧν ἂν ἄλλος ἄλλῳ προστεί-
κέν τι παθεῖν, ἢ ἀποτίσαι· τὰ δὲ εἴσω τῆς ψυχῆς
ἀδούλωτα ἄλλῳ, καὶ ἐλεύθερα, ἐὰν ἡμεῖς θέλω-
μεν, ἐὰν μὴ πρὸς τὸ σῶμα, ἢ τὰ ἐκτὸς, ἀμέ-
τρῳ προσπαθείᾳ τὴν ἐλευθερίαν ἡμῶν ἑκόντες
δουλαγωγήσωμεν, ζωῆς ἐφημέρου καὶ χρημά-
των τὸ ἀγαθὸν τῆς ψυχῆς ἀποδιδόμενοι. Ταῦ-
τα ἡμῖν εἰσηγεῖται τὸ προκείμενον παράγγελ-
μα ἐπὶ παντὶ τελεῖν· δι' ὧν τὸ μόνιμον, καὶ ἀ-
παράγωγον ἀρετῆς ἐπισφραγίζεται. ἀλλὰ ἐπὶ
τὰ ἑξῆς μετίωμεν πρὸς τὰ αὐτὰ δόγματα
τὴν ἀναφορὰν ἔχοντα.

27 ΒΟΥΛΕΥΟΥ ΔΕ ΠΡΟ ΕΡ-
ΓΟΥ, ΟΠΩΣ ΜΗ ΜΩ-
ΡΑ ΠΕΛΗΤΑΙ· 28 ΔΕΙ-
ΛΟΥ ΤΟΙ ΠΡΑΣΣΕΙΝ
ΤΕ ΛΕΓΕΙΝ Τ' ΑΝΟΗ-
ΤΑ ΠΡΟΣ ΑΝΔΡΟΣ.

Quod enim natura mortale est, id ipsũ mortis decreto quibuslibet auxiliis liberare nõ queas: sed possumus quod habemus immortale; (id est animum, atque nos) virtute exornare, si ad mortis minas non frãgamur; quã dum iusta ratione subimus, naturæ ipsi necessitatẽ voluntatis rectitudine illustramus. Sunt ista certè magna illa, è quibus aliquid alius alij, vt patiatur, aut luat, possit proponere. At verò quæ intus habet animus nulli sunt mãcipata; sed libera, si ipsi velimus; nisi si corpori, vel rebus externis, immodicísque cupiditatibus obtemperantes sponte libertatem abiiciamus, animíque bona vita momentanea atque diuitiis vendamus. Ista nos monet præceptum, quod antè positum est, in rebus omnibus efficere; quibus virtutis stabilitas, atque constantia confirmetur. Ad alia verò deinceps, quæ ad eadem dogmata referuntur, transeamus.

27 CONSILIVM ADHIBE PRIVSQVAM RES GERATVR; NE ABSVRDA FIANT. 28 HOMINIS NEMPE MISERI EST, EA FACERE, ET LOQVI, QVAE STVLTA SVNT.

Consilium præcedat opus, ne absurda sequantur.
Est miseri ꝙ quis stultè loquiturque, facitq;.

29 EA AVTEM PERFICITO, QVAE TIBI MOLESTA DEINCEPS MINIME FVTVRA SINT.

Effice quin poti⁹ nequeāt quæ facta dolere.

Consilij prudentia & virtutes parit, & perficit, & continet, parens simul earum, & nutrix, & custos. Cùm enim tranquillè quam vitæ rationem inire debeamus, agitamus; tũ eligitur virtutum præstantia. Cùm autem fortiter omnia virtutis nomine certamina obire consilium statuit, atque iam virtuti comparandæ assueuit, in calamitatũ etiam perturbationibus mentem retinet incontaminatam; nec iis, quæ foris tumultuantur, vlla ratione adducitur, vt mutato instituto aliam existere felicem vitam existimet, prę ter eam, quam per se optimam iudicauit. quo fit, vt recti consilij opera tria reperiantur. Primum, vitæ optimæ delectus. alterum cultus illius, quam delegimus. tertium constans eorum obseruatio, quæ rectè instituta sunt. Est verò horum quidem primum, ratio illa, quæ OPVS anteit, à qua manant actionum principia. Medium verò, quæ cum opere existens, singula, quę fiunt, principiis primis accommodat. Vltimum autem, quæ in OPERE res ipsas examinat, & iudicat an rectè FACTAE SINT. Elucet verò in omnibus consilij boni præstantia, quæ virtutes modò pariat;

29 ΑΛΛΑ ΤΑΔ' ΕΚΤΕΛΕΕΙΝ Α ΣΕ ΜΗ ΜΕΤΕΠΕΙΤ' ΑΝΙΗΣΗ.

Ἡ εὐβουλία καὶ γεννᾷ τὰς ἀρετὰς, καὶ τελειοῖ, καὶ συνέχει, μήτηρ ἅμα, καὶ τιθηνὸς, καὶ φύλαξ αὐτῶν γινομένη. βουλευομένων γὰρ ἡμῶν ἐφ' ἡσυχίας ὃν εἶναι τρόπον χρὴ ζῆν, τὸ τῆς ἀρετῆς προαιρεῖται κάλλος. ἑλομένη δὲ διαπλέκειν γενναίως πάντας τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας, καὶ συνεθισθεῖσα τῇ κτήσει τῶν καλῶν ἤδη, κἂν ταῖς τῶν περιστάσεων ταραχαῖς τηρεῖ τὴν γνώμην ἀκέραιον, οὐδὲν ὑπὸ τῶν ἔξωθεν θορυβούντων ἐκπληττομένη πρὸς τὸ μεταθέσθαι ἄλλον εὐδαίμονα εἶναι βίον, ἢ ἐκεῖνον, ὃν ἐφ' ἑαυτῆς ἐλογίσατο κάλλιστον· ὅθεν τρία τῆς εὐβουλίας τὰ ἔργα. πρῶτον ἐκλογὴ τοῦ ἀρίστου βίου. δεύτερον ἄσκησις τοῦ προαιρεθέντος. τρίτον τήρησις ἀμεταπτώτως τῶν κριθέντων ὀρθῶς. τούτων δὲ τὸ μὲν πρῶτόν ἐστιν, ὁ ΠΡΟ ΕΡΓΟΥ λόγος, ὁ τὰς ἀρχὰς τῶν πράξεων ὑποτιθέμενος. τὸ δὲ μέσον, ὁ σὺν τῷ ΕΡΓΩ λόγος, ὁ προσυμβιβάζων ἕκαστον τῶν πραττομένων ταῖς ἡγουμέναις ἀρχαῖς. τὸ δὲ τρίτον, ὁ ἐπὶ τῷ ΕΡΓΩ λόγος ἀναλογιζόμενος τὰ πεπραγμένα, καὶ κρίνων εἰ δεόντως πέπρακται. διὰ πάντων δὲ τὸ τῆς εὐβουλίας καλὸν ἐπανθεῖ, νῦν μὲν κυούσης τὰς ἀρετὰς·

νοῦ δὲ ἐκτρεφούσης, καὶ φρουρούσης ἐκ τεῖ τοῦ ὡς ἀρχῶν τε, καὶ μέσα, ἢ πλοῦτον τῶν ἀγαθῶν ἐν ταύτῃ ἡμῖν κεῖσθαι, τὴν τε ἀπαλλαγὴν τῶν κακῶν διὰ ταύτης μόνης ἡμῖν παραγίνεσθαι, ἢ τὴν τῶν ἀρετῶν πλείωσιν. λογικῆς γὰρ τῆς φύσεως ἡμῶν οὔσης, καὶ διὰ τοῦτο βουλευτικῆς, οἰκεία δὲ προαίρεσις πρὸς τὸ εὖ, ἢ κακῶς βουλεύεσθαι προσαγομένης, ἡ μὲν κατὰ φύσιν ζωὴ σώζει τὴν οὐσίαν αὐτῆς· ἡ δὲ παρὰ τὸ δέον αἵρεσις φθείρει ἐφ' ὅσον οἷόν τε. φθορὰ δὲ ἀθανάτου πράγματος κακία, ἧς ἀβουλία μήτηρ, ἣν ἐκφυγεῖν ὁ λόγος παραινεῖ, ΟΠΩΣ ΜΗ ΜΩΡΑ ΠΕΛΗΤΑΙ. ΜΩΡΑ δὲ ἄθλια, καὶ κακά. τὸ γὰρ ΛΕΓΕΙΝ Η ΠΡΑΣΣΕΙΝ ΑΝΟΗΤΑ ΔΕΙΛΟΥ ΠΡΟΣ ΑΝΔΡΟΣ ΕΣΤΙΝ, ἀντὶ τοῦ, κακοδαίμονος ἴδιον ἀνθρώπου. εἰ δὲ ΒΟΥΛΕΥΟΙΟ ΠΡΟ ΕΡΓΟΥ, ΟΥΤΕ ΕΡΕΙΣ ΤΙ, ΟΥΤΕ ΠΡΑΞΕΙΣ ΑΝΟΗΤΟΝ, ἐφ' οἷς ἰδιάζεσθαι ἀνάγκη τοῖς τῇ ἀβουλίᾳ ὑπευθύνοις. τὸ γὰρ σαθρὸν τῆς αἱρέσεως τῇ μεταμελείᾳ ἐλέγχεται πεῖρα δεῖξαν τὴν βλάβην, ὥσπερ αὖ τὸ τῆς εὐβουλίας γενναῖον πρὸς τὸ μόνιμον ἄγει τῆς ἐκλογῆς, ἐπ' αὐτὴν τὴν ΕΡΓΩΝ τὴν ὠφέλειαν ἐπιδεικνύμενον·

modò nutriat; & tertiò tueatur. Vnde fit, vt in eo nobis & principium, & medium, & finis etiam bonorum sita sint; nósque vnum & malis liberet, & virtutibus augeat, atque cumulet. Quia enim natura nostra rationis est particeps, atque ideò deliberationis capax: cùm propria voluntate ad consilia vel praua, vel recta ducitur; tum quidem quæ secundum naturam vita est, vim seruat ipsius: corrumpit autem, quantùm potest, quæ id eligit, qnod non decet. Est verò sempiternæ rei lues malitia; huiúsque parens consilij prauitas; quam euitare adhortatur versus, NE FIANT QVAE STVLTA SINT. Sunt autem STVLTA, quę misera, & mala. Ea ENIM DICERE ET FACERE, QVAE MENTE CARENT, MISERI HOMINIS EST, id est infelicis, proprium. Sin autem ANTE OPVS CONSVLVERIS, nec ipse DICES quicquam, nec FACIES; QVOD STVLTVM SIT: QVIBVS necesse est eos MOLESTIA AFFICI, qui temeritatis culpæ sunt affines. Arguit enim electionis futilitatem pœnitentia; cùm experientia damnum indicat: non aliter quàm eiusdem soliditatem consilij probitas; cùm in rebus ipsis vtilitatem ostendit:

vtilitatem inquam, non corpoream, non externam; sed nostram ipsorum, quibus ANTE OPVS CONSVLERE pręcipitur, atque EA PERFICERE, QVAE MOLESTIAM nobis (qui animus sumus) NON PARIANT. Quid enim prosit periuriis, cædibus, aut aliis eiusmodi maleficiis, diuitias parare, externisique opibus abundare: iis autem bonis egere, quæ animo conferunt? Nec ad id vel aduertere, atque ita malum augere vehementius; vel si admissorum conscientia in eorum sensum pertrahatur, animo distorqueri, & pœnas inferorũ metuere, solámq; in eo medicinam inuenire, quòd effugium nullum sit; vnde malũ malo curare ipsi prõptum est: dum animi interitu sceleri suo adblanditur, dignúmq; se iudicat, cuius nihil post mortẽ supersit, vt iudicij pœnas effugiat? nõ enim vult qui mal' est, esse sibi animum immortalem; ne scelerum vltionẽ patiatur. Itaque iudicẽ, qui apud inferos est, præuertens, morte se ipse condemnat; tanquam ne sceleratum quidem animũ subsistere deceat. At iste quidem, tanquam consilij inopia ad malitiam delatus, sententiam aduersum se tulit non malè intemperantiæ suæ respondentem. sed inferorum iudices tanquam ad veritatis normam iudicia reuocantes, non statuent debere animum minimè existere; sed sceleratum non esse;

ὠφέλειαν δὲ οὐ τὴν τοῦ σώματος, οὐδὲ τὴν τῶν ἐκτός, ἀλλὰ τὴν ἡμετέραν αὐτῶν, οἷς καὶ τὸ ΒΟΥΛΕΥΕΣΘΑΙ ΠΡΟ ΕΡΓΟΥ παρεγγέλλεται, καὶ ταῦτα ἐκτελεῖν, ἃ μὴ ΑΝΙΑΣΕΙ ἡμᾶς· ἡμᾶς δὲ δῆλον ὅτι τὴν ψυχήν. τί γὰρ ὄφελος ἐπιορκίαις, ἢ φόνοις, ἢ ἄλλαις τισὶ κακοπραγίαις κτήσασθαι χρήματα, καὶ πλουτεῖν τὰ ἔξω, πενομένους τῇ ψυχῇ τῶν ἐπιβαλλόντων αὐτῇ καλῶν; καὶ πρὸς τοῦτο ἢ ἀναισθήτως ἔχειν, καὶ διὰ τοῦτο μᾶλλον ἐπιτείνειν τὸ κακόν; ἢ εἰς αἴσθησιν τῶν εἰργασμένων ὑπὸ τῆς συνειδήσεως ἀγόμενον στρεβλοῦσθαι τὴν ψυχήν, καὶ δειμαίνειν τὰ ἐν ᾅδου κολαστήρια; καὶ μόνην ἴασιν εὑρίσκειν τὴν εἰς τὸ μὴ εἶναι καταφυγήν, ὅθεν αὐτῷ πέπεισται κακῷ τὸ κακὸν ἰᾶσθαι, φθορᾷ τῆς ψυχῆς τὴν κακίαν παραμυθουμένῳ, καὶ τὴν μετὰ θάνατον οὐδένειαν ἑαυτοῦ καταψηφίζεσθαι φυγὴν τῆς κρίσεως πόνων; οὐ βούλεται γὰρ ὁ κακὸς ἀθάνατον εἶναι τὴν αὐτοῦ ψυχήν, ἵνα μὴ ὑπομείνῃ τιμωρούμενος. καὶ φθάνει τὴν ἐκεῖ δίκην τὴν θάνατον ἑαυτοῦ καταψηφιζόμενος, ὡς πρέπον τὴν πονηρὰν ψυχὴν μηδὲ εἶναι. ἀλλ' οὗτος μέν, ὡς ἀβουλίᾳ πρὸς κακίαν ὑπενεχθείς, εἰκότως ἀμετρίᾳ τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκφέρει· οἱ δὲ ἐν ᾅδου δικασταί, ἅτε πρὸς τὴν τῆς ἀληθείας κανόνα τὴν κρίσιν ποιούμενοι, οὐ κρίνουσι μὴ εἶναι δεῖν τὴν ψυχήν, ἀλλὰ πονηρὰν μὴ εἶναι,

καὶ ὅπως ἂν μετελάσῃ τὸ κακὸν αὐτῆς πραγματεύονται, ἐπὶ σωτηρίᾳ τῆς φύσεως τὰς κολάσεις ἐπάγοντες, ἰατροῦ δίκην, τομαῖς, καὶ καύσεσι τὰ χρόνια ἕλκη θεραπεύοντες, καὶ τῶν ἡμαρτημένων δίκας εἰσπράττοντες, μετανοίᾳ ψυχῆς τὴν πονηρίαν ἀφανίζειν πειρώμενοι, οὐκ αὐτὴν τὴν οὐσίαν ἐξιστάντες τοῦ εἶναι, μᾶλλον ἐπανάγοντες τῇ τῶν λυμαινομένων παθῶν ἐκκαθάρσει. κινδυνεύει γὰρ εἰς τὸ μὴ εἶναι ὑποφέρεσθαι ἡ ἀνθρωπίνη ψυχὴ διὰ τῆς εἰς τὸ μὴ παρὰ φύσιν ἐκτροπῆς· τῇ δὲ εἰς τὸ κατὰ φύσιν ἀνακλήσει πρὸς τὴν οὐσίαν τὴν αὐτῆς ἐπανάγεται, καὶ ἀπολαμβάνει καθαρὸν τὸ εἶναι, ὃ τῇ συμμίξει τῶν παθῶν ἐκηραίνετο. διὸ πειρᾶσθαι δεῖ μάλιστα μὲν μὴ ἁμαρτάνειν· ἁμαρτόντας δὲ σπεύδειν, ὡς ἐπὶ ἰατρικὴν τῆς πονηρίας τὴν δίκην, ἐπανορθουμένους τὴν ἀβουλίαν τῇ κρείττονι βοηθείᾳ. ἐπεὶ γὰρ τοῦ εἶναι ἀγαθοὶ ἐκπεπτώκαμεν, τοῦ γίνεσθαι γοῦν ἀντιλαμβανόμεθα μεταμελείᾳ εὐγνώμονι τὴν θείαν ἐπανόρθωσιν εἰσδεχόμενοι. ἡ δὲ μετάνοια αυτη φιλοσοφίας ἀρχὴ γίνεται, καὶ τῶν ΑΝΟΗΤΩΝ ΕΡΓΩΝ ΤΕ ΚΑΙ ΛΟΓΩΝ φυγὴ, καὶ τῆς ἀμεταμελήτου ζωῆς ἡ πρώτη παρασκευή. ὁ γὰρ καλῶς περὶ τῶν πράξεων βουλευόμενος οὐ περιπίπτει λύπαις ἀκουσίαις, οὐδὲ λανθάνει ταῖς ἀρχαῖς,

& dabunt operam, vt retundatur ipsius malitia, adhibitis ad naturæ salutem castigationibus, medicorũ more, qui maligna hulcera sectionibus atque vstionibus curant. Pœnas deinde scelerum exigent, pœnitudine animi nequitiam delere satagentes; non ipsam eius substantiam de rerum natura tollere; sed perturbationum potius, quibus corrumpebatur, purgatione, in pristinum statum reuocare. Est enim periculum ne esse desinat hominis animus, cùm ad id, quod est præter naturam, diuertitur. Cùm autem ad id, quod est secundum naturam, reuocatur; ad suam ipse naturam reducitur, purámque illam existendi rationem rursus assumit, quam cupiditatum mixtione corruperat. Itaque maximè quidem conari oportet, ne quid peccetur. Sin autem peccatum est, ad iustitiam statim, tanquam ad scelerum medicinam, confugere; vt prauum consilium præstantioris ope corrigamus. Cùm enim probitate excidimus, quam habebamus; eam rursum iustæ pœnitudinis auxilio adipiscimur; cùm diuinã correctionem admittimus. Est vero sapientiæ principiũ pœnitentia ipsa, STVLTORVMQVE SERMONVM, atque OPERVM fuga, primáque ad vitam, cuius pœnitere nõ queat, instructio. Nõ enim molestiis ille obnoxi⁹ est, quę temerè accidũt, qui rectè consilium init, priusquàm geratur aliquid: nec se rerũ principia,

atque occasiones dare ignorat, quarum finem atque exitum reformidat: sed semper ei adstipulatur quod adest, eorum fortuitos euentus, quæ solent aliter contingere, rationibus expendens. Quò fit, vt nec eorum expectatione, quæ bona nuncupantur, quod verè bonum sit, contemnat; nec metu etiam contrariorum, mali quicquam admittat: sed mente semper ad diuinas leges intenta, suam ipse vitam ex earum instituto dirigit. Vt autem scias MISERI ESSE HOMINIS EA DICERE, ET FACERE, QVAE STVLTA sunt: Medeam in tragœdia intuere, vt vicem suam lugear; quæ ingenti amore correpta, cùm suos inconsultè prodidisset, seipsam homini peregrino tradidit. posteà verò, cùm ab ipso negligeretur, indignáque pati se existimaret; ex ea persuasione, in has voces prorumpit.

Feriat caput hoc cæleste mihi
Fulgur. —

Pergit deinde ad nefaria opera; primùm ea STVLTE exoptans infecta esse, quæ fierent: tum furenter malis mala curare tentans. Quòd si placet Homericum Agamemnonem intueri; audies & ipsum, cùm dat pœnas iræ vehementis, eiulantem, & clamantem;

-- Turbor, mihi nec iam cor sedet intus.

Ardorem

ἢ ταῖς ὑποθέσεσι διδοὺς, ὧν τὰ συμπεράσματα, καὶ ταῖς ἐκβάσεσιν οὐκ ἀσμενίζει, ἀλλ' ἀεὶ τὸ παρὸν συνίστησι, τῶν ὅλως ἐπισυμβαινόντων τὰς τύχας ἐκλογιζόμενος. διὸ οὔτε προσδοκίαις τῶν λεγομένων ἀγαθῶν τὸ ὄντως ἀγαθὸν ἂν παρείδῃ, οὔτε φόβῳ τῶν ἐναντίων τὴν τοῦ κακοῦ πρᾶξιν αἱρήσεται, ἑστώσῃ δὲ τῇ γνώμῃ πρὸς τοὺς θείους κανόνας τὸν ἑαυτοῦ βίον ἀπευθύνει. ἵνα δὲ γνῷς, ὅτι ΔΕΙΛΟΥ ΠΡΟΣ ΑΝΔΡΟΣ ΕΣΤΙ ΠΡΑΣΣΕΙΝ ΤΕ, ΚΑΙ ΛΕΓΕΙΝ ΑΝΟΗΤΑ, ὅρα Μήδειαν τὴν ἐν τῇ τραγῳδίᾳ τὰ καθ' αὑτὴν ὀδυρομένην, ἥτις ἀβουλήτως τοῖς οἰκειοτάτοις προδοῦσα δι' ἔρωτα ἔκτοπον ἀνδρὶ ξένῳ ἑαυτὴν ἐνεχείρισεν. ἔπειτα ὀλιγωρουμένη ὑπὸ τούτου, ἀφόρητα πάσχειν οἴεται. καὶ ἐκ τῆς οἰήσεως ταύτης ἀκούεις οἷα βοᾷ·

Διά μου κεφαλῆς φλὸξ οὐρανία
Βαίη. ——

καὶ πρόεισιν εἰς τὰ παράνομα. πρὸ τοῦ ΑΝΟΗΤΩΣ ἐπευχομένη μὴ γεγενῆσθαι τὰ γινόμενα. εἶτα μανικοῖς ἰᾶσθαι τὰ κακὰ πειρωμένη. εἰ δὲ βούλει, τὸν Ἀγαμέμνονα θέασαι τοῦ Ὁμήρου, ὃς τῆς ἀμετρίας θυμοῦ διδοὺς δίκας οἰμώζων ἀναφωνεῖ·

— ἀλλ' ἀλύκτημαι, κραδ. ἡ δέ μοι ἔξω.

καὶ τὸ πυρῶδες τῶν ὀμμάτων, ὃ πάλαι ὑπὸ τῆς
θυμικῆς διαθέσεως ἐξήπτετο, μεταπεσόντων
αὐτῷ τῶν πραγμάτων τοῖς τῶν δακρύων ὄμ-
βροις κατέψυχε. Τοιοῦτος γὰρ πᾶς ΑΝΟΗΤΟΣ
βίος, τῇδε κἀκεῖσε τοῖς ἐναντίοις πάθεσι μετα-
πίπτων, ἐν ἡδοναῖς μὲν ἐστὶ μισητὸς, ἐν λύπαις ἐ-
λεεινὸς, καὶ θαῤῥῶν προπετὴς, καὶ δεδιὼς ταπει-
νὸς, καὶ ὅλως τοῦ τῆς εὐβουλίας γενναίου φρονήμα-
γρ. τος ἀμοιρῶν τῇ τύχῃ συμμεταβάλλεται τῇ γνώ-
τὴν γνώ- μῃ. ἵνα οὖν μὴ τοιούτων δραμάτων ἀναπιμ-
μην. πλώμεθα, ΠΡΑΣΣΟΝΤΕΣ ΚΑΙ ΛΕ-
ΓΟΝΤΕΣ ΑΝΟΗΤΑ, τῷ ὀρθῷ λογι-
σμῷ διὰ πάντων ἡγεμόνι χρησόμεθα, τὸ σω-
κρατικὸν ἐκεῖνο πληροῦντες, ὡς ἐγὼ οὐδενὶ οἷός
τέ εἰμι πείθεσθαι τῶν ἐμῶν, πλὴν τῷ λόγῳ, ὃς
ἄν μοι λογιζομένῳ ὀρθὸς φαίνηται. ἡμῶν δέ
ἐστιν, ἀλλ' οὐχ ἡμεῖς, πάντα ὅσα πρὸς ὑπη-
ρεσίαν τῆς λογικῆς δίδοται, οἷον θυμὸς, ἐπιθυμία,
αἴσθησις, αὐτὸ τὸ σῶμα τὸ εἰς ὀργάνου χρείαν
ταῖς δυνάμεσι ταύταις παρειλημμένον, ὧν οὐ-
δενὶ χρὴ πείθεσθαι, πλὴν ὡς φησὶ, τῷ ὀρθῷ λό-
γῳ, τουτέστι τῷ λογικῷ κατὰ φύσιν διατεθέντι. τοῦ-
το γὰρ καὶ διορᾶν δύναται ΛΕΚΤΕΑ ΤΕ
ΚΑΙ ΠΡΑΚΤΕΑ. λόγῳ δὲ ὀρθῷ πείθεσθαι
καὶ θεῷ, ταὐτόν ἐστι. τὸ γὰρ λογικὸν γένος εὐμοι-
ρῆσαν τῆς οἰκείας ἐλλάμψεως ταῦτα βούλεται,

Ardorē deinde oculorum, qui pridem iracundiæ procliuitate accendebatur, immutatis rebus ipsis, lachrymarum imbre restinxit. Eiusmodi enim omnis vita est STVLTORVM hominum, propter contrarias affectiones alijs atq; alijs mutationibus obnoxia: in prosperis quidem rebus odiosa; in aduersis verò miserabilis; in spe autem præceps; in metu verò, deiecta. Omnino denique, qui caret consilij boni & recti subsidio, mutat simul & mentem cum fortuna. Ne ergo huiusce generis dramatis repleamur, dum ea dicimus & facimus quæ STVLTA sunt; rectaipsi ratione, tanquam duce, in omnibus vtamur, & Socratis illud imitemur; quo se dicebat nulli suorum posse assentiri, nisi rationi, quæ recta monere visa esset. Sunt verò nostra, non autem nos, omnia illa, quæ ad rationis ministerium data sunt, ira, cupiditas, sensus, corpus ipsum, quod instrumenti vice facultatibus istis in vsum conceditur; quarum nulli decet credere, vt ait, nisi rectæ rationi; id est parti illi ratione præditæ, quæ secundum naturam se habeat. Potest enim & illa perspicere quæ dicere & facere conueniat. Est verò idem rationi parere, atque Deo. Natura enim quæ rationis est particeps, cùm splendorem suum, suámque lucem sortita est, ea ipsa amplectitur,

quæ diuina lex statuit: nec discrepat à Dei sententia animus, qui secundum Deum se habeat; sed diuinitati atque splendori intentus ea facit, quæ facit. At nō ita qui contrà se habet; quippe qui Deum non agnoscat, & in tenebris temerè, proútque fortè contigit, peruagetur; mente scilicet, atque Deo, tanquam sola bonorum regula, destitutus. Tam multa adeò, & varia existunt consilij recti commoda. Sed hoc etiam ad alia accedit; quòd EX CONSILIO, QVOD OPERI PRAEMITTITVR, amputatis incertarum opinionum caussis, ad scientiæ notitiam reuocamur; vnde iucūdissima nobis, atque etiam optima vitæ ratio concilietur: quod sequentibus demonstratur.

30 NIHIL AGE EORVM, QVAE NESCIS, SED DISCITO 31 QVAECVNQVE DECENT: ATQVI ITA VITAM PERAGES IVCVNDISSIMAM.

Nec tu quod nescis gerito; sed discere cura
Quæ fas. periucunda tibi sic vita futura est.

Nihil adgredi, quod non sciamus, id tantùm cauet, ne peccemus: at ea DISCERE, quæ ad VITAM optimam conferunt; prætęrquàm quòd inculpatos reddit;

ἃ ὁ θεῖος ὁρίζει νόμος. καὶ γίνεται σύμψηφος θεῷ ἡ κατὰ θεὸν διακειμένη ψυχή, καὶ πρὸς τὸ θεῖον, καὶ τὸ λαμπρὸν ἀποβλέπουσα πράττει ἃ ἂν πράττῃ· ἡ δὲ ἐναντίως διακειμένη, πρὸς τὸ ἄθεον καὶ σκοτεινὸν, εἰκῆ, καὶ ὡς ἔτυχε, *φερομένη, ἅτε τῆς μόνης τῶν καλῶν στάθμης, νοῦ καὶ θεοῦ ἀποπεσοῦσα. τοσαῦτα μὲν καὶ τοιαῦτα τῆς ἀβουλίας τὰ ἀγαθά. τὸ δὲ ΒΟΥΛΕΥΕΣΘΑΙ ΠΡΟ ΕΡΓΟΥ, πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, καὶ τῆς οἰήσεως ἐκκόπτει τὰς ἀφορμὰς, καὶ πρὸς ἐπιστήμης ἀνάληψιν παρακαλεῖ, καὶ τὸν ἥδιστον ἡμῖν προξενεῖ βίον, ὥσπερ καὶ τὸν ἄριστον. Δηλοῦται δὲ ταῦτα διὰ τῶν ἑξῆς.

* φέρεται

30 ΠΡΗΣΣΕ ΔΕ ΜΗΔΕΝ
ΤΩΝ ΜΗ ΠΙΣΤΑΣΑΙ·
ΑΛΛΑ ΔΙΔΑΣΚΕΥ 31 ΟΣ-
ΣΑ ΧΡΕΩΝ, ΚΑΙ ΤΕΡ-
ΠΝΟΤΑΤΟΝ ΒΙΟΝ ΩΔΕ
ΔΙΑΞΕΙΣ.

Τὸ μὲν μὴ ἐπιχειρεῖν οἷς οὐκ ἴσμεν, ἀναμαρτήτους ἡμᾶς διαφυλάττει μόνον· τὸ δὲ διδάσκεσθαι τὰ πρὸς τὴν ἀρίστην ζωὴν συντείνοντα, πρὸς τῷ ἀναμαρτήτῳ, καὶ τὴν κατόρθωσιν

ἐν ταῖς πράξεσιν ἡμῖν παρέχεται. ἡ μὲν γὰρ συναίσθησις τῆς ἀγνοίας τὴν ἐκ τῆς οἰήσεως ἐγγινομένην προπέτειαν ἐκκόπτει· ἡ δὲ τῆς ἐπιστήμης κτῆσις τὸ τῶν ἐνεργειῶν ἀπαρεμπόδιστον δίδωσιν. ἀμφότερα δὲ καλά, καὶ τὸ εἰδέναι ὅτι οὐκ ἴσμεν, καὶ τὸ γνῶναι ἃ οὐκ ἴσμεν· οἷς ἕπεται ΒΙΟΣ ὁ ἄριστος ἅμα, καὶ ΗΔΙΣΤΟΣ. ἔσται δέ ἐστιν οἰήσεως μὲν καθαρεύων, ΕΠΙΣΤΗΜΗΣ δὲ πλήρης. ἐπὶ μηδενὶ μὲν ἐπαιρόμενος ὧν οὐκ οἶδε, μανθάνειν δὲ ἐθέλων ὅσα ἄξια μαθήσεως. ἄξια δὲ ἐκεῖνα μόνα, ὅσα πρὸς τὴν θείαν ὁμοίωσιν ἡμᾶς ἄγει· ὅσα ποιεῖ βουλεύεσθαι πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται· ὅσα οὐκ ἐᾷ παράγεσθαι ὑπ' οὐδενὸς οὔτε λόγῳ, οὔτε ἔργῳ· ὅσα διακρίνειν ἱκανοὺς ποιεῖ τῶν προσπιπτόντων λόγων τὸ διάφορον. ὅσα τὰς δαιμονίας τύχας πράως φέρειν, καὶ ἰᾶσθαι πείθει, καὶ τὴν θανάτου, καὶ πενίας διδάσκει, καὶ δικαιοσύνης ἄσκησιν· καὶ γαστρὸς, καὶ τῆς περὶ τὴν γαστέρα τὴν ἐγκράτειαν. ὅσα τοὺς τῆς φιλίας νόμους εἰσηγεῖται, καὶ τὴν γονέων τιμήν. ὅσα τῶν κρειττόνων γενῶν τὸ σέβας ὑποδείκνυσι. ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν, ἃ ΔΙΔΑΣΚΕΣΘΑΙ χρῆναί φησιν ὁ παρὼν λόγος, οἷς ΕΠΕΤΑΙ ΒΙΟΣ Ο ΤΕΡΠΝΟΤΑΤΟΣ. ὁ γὰρ ἀρετῇ διαπρέπων καὶ ἡδονὰς ἀμεταμελήτοις καρποῦται

efficit etiam, vt à nobis gerantur quæ præclara sunt. Exscindit enim intelligentia temeritatem ignorationis, quæ per opinionem excitatur; affert autem actionum libertatem scientiæ possessio. Est verò vtrumque in bonis habendum, si NESCIRE nos non ignoremus; sique noscamus quæ ignoramus; ex quibus VITA sequitur optima simul, atque IVCVNDISSIMA. Fuerit autem eiusmodi, quæ opinione liberata scientia referta sit; nullisque attollatur, quæ ignorat; sed ea lubens addiscat, quæ scitu digna sunt. Sunt verò generis istius ea tantùm, quę Deo similes nos reddunt. quę ante opus consulere faciunt, ne stulta committantur. quæ nos à nullo, neque verbis, neque factis, auocari sinunt. quæ reddunt idoneos ad occurrẽtium sermonum discrimen faciendum. quæ diuinitùs missas calamitates ferre moderatè, iisque mederi persuadent. quę mortem, quę paupertatem pati ęquo animo; quę iustitiam colere; quę ventrem ipsum, & ea, quę ventrem sequuntur, continere. quę leges tradunt amicitię, & debitum parẽtibus honorem. quę denique superiorum generum cultum demonstrant. Ista sunt, inquã, eiusmodique alia, quę DISCI oportere pręsens innuit oratio; & quæ sequitur VITA IVCVNDISSIMA. Voluptates enim, quarum pœnitere nũquam potest, ille etiam, qui virtute pręditus est, percipit,

percipit, quæ virtutis stabilitatem imitãtur. Ira siquidem natura comparatũ est, vt voluptas omnis, actionis cuiuslibet comes sit. Non enim illa per se subsistit; sed nos alia atque alia gerentes comitatur. Vnde fit, vt deteriores actiones illæ etiã subsequantur voluptates, quæ malæ sunt; præstãtiores autem, quæ bonæ: nec eo tantùm, quod honestũ est, homini nequã is præstat, qui bonus est; sed ipsa etiã voluptate, qua solùm ad vitia duci videtur improbus. Quãtò enim affectionem affectione præstãtiorem esse cõtigit: tanto & voluptatem voluptate magis appeti. Quoniam igitur quę secundum virtutem VITA est, re vera diuina est; quæ autem vitia sequitur, belluina, atque à Deo aliena: nemini sanè dubium est, hominis virtute prędìti voluptatem diuina gaudia imitari, quę mentẽ, Deumque ipsum sequatur: improbi autem voluptatem (detur enim cõmune nomen) ad appetitus belluinos & vecordes esse referẽdam. Sunt enim voluptates atque dolores in medio posita: ex quorum fontibus, vnde liceat, & quãdo, & quãtum qui hauriat, non potest non felix existere: miser autem, qui istorum modum nõ teneat. Sic ergo tantùm sine peccato vita est, quæ se opinionis errore purgauit: felix autem & perfecta, quæ SCIENTIAM adepta; eadémque IVCVNDISSIMA, atque optima. Nunquam igitur QVAS

μιμουμένας τὸ τῆς ἀρετῆς μόνιμον. πέφυκε γὰρ πᾶσα ἡδονὴ ἐνεργείας ἢ συνουσιῶν εἶναι παρακολούθημα. οὐ γὰρ αὐτὴ καθ' ἑαυτὴν τὴν ὑπόστασιν ἔχει, ἀλλ' ἐπακολουθεῖ τάδε ποιοῦσιν ἡμῖν, ἢ τάδε. διὸ ταῖς φαυλοτέραις τῶν ἐνεργειῶν αἱ χείρους τῶν ἡδονῶν ἕπονται· ταῖς δὲ ἀμείνοσιν ἡδοναὶ συνεισέρχονται σπουδαῖαι, ὥστε μὴ μόνον τῷ καλῷ περιεῖναι τὸν σπουδαῖον τοῦ φαύλου, ἀλλὰ καὶ αὐτῇ τῇ ἡδονῇ νικᾶν, δι' ἣν μόνην δοκεῖ εἰς κακίαν ὁ φαῦλος ὑπάγεσθαι. καὶ γὰρ ὅσῳ ἡ διάθεσις τῆς διαθέσεως ἀμείνων· τοσούτῳ καὶ ἡ ἡδονὴ τῆς ἡδονῆς αἱρετωτέρα. ἐπεὶ οὖν ὁ κατ' ἀρετὴν ΒΙΟΣ τῆς θείας ὁμοιώσεως ἀντεχόμενος, τῷ ὄντι θεῖός ἐστιν· ὁ δὲ ἐν κακίᾳ θηριώδης, καὶ ἄθεος· δῆλον ὡς ἡ μὲν τοῦ σπουδαίου ἡδονὴ τὴν θείαν εὐφροσύνην μιμεῖται νῷ καὶ θεῷ συνεπομένη. ἡ δὲ τοῦ φαύλου ἡδονὴ λεγομένη (δέδοται γὰρ κοινὸν τὸ ὄνομα) πρὸς τὴν θηριώδη καὶ ἔμπληκτον ὁμοιοῦται κίνησιν. ἡδοναὶ γὰρ καὶ λῦπαι μεθιστᾶσιν· ὧν ὁ μὲν ἀρυόμενος, ὅθεν τε δεῖ, καὶ ὁπότε, καὶ ὁπόσον, εὐδαιμονεῖ· ὁ δὲ τὰ μέτρα τούτων ἀγνοήσας, ὁ ἄθλιος. οὕτως οὖν ὁ μετ' οἰήσεως καθαρῶν βίος ἀναμάρτητός ἐστι μόνον· ὁ δὲ καὶ ἐπιστήμης πληρωθεὶς, κατορθούμενος, καὶ τέλειος· ὁ δὴ αὐτὸς ΗΔΥΣΤΌΣ ΤΕ ΑΜΑ, καὶ ἄριστος. οὐκοῦν ἃ μὲν

ΜΗ ΙΣΜΕΝ, ΟΥΔΕΠΟΤΕ ΠΡΑΞΩΜΕΝ ἃ δεῖ ὅμεν, ὅτε δεῖ. ἡ μὲν γὰρ ἄγνοια τὴν κακίαν εἰσηγεῖται· ἡ δὲ γνῶσις τὴν εὐκαιρίαν ζητεῖ. πολλὰ γὰρ οἷα τε σπουδαῖα τῇ μεταθέσει τοῦ καιροῦ γίνεται φαῦλα. ἐν τάξει οὖν ἀκούσωμεν τοῦ παραγγέλματος, ἐκ μὲν τῆς ἀποχῆς τῶν πράξεων τὸ ἀναμάρτητον ἡμῖν εἰσηγουμένου· ἐκ δὲ τῆς προσθήκης τοῦ μανθάνειν οὐ πάντα, ἀλλ' ὅσα δεῖ, πρὸς τὰς ἀρίστας πράξεις ἡμᾶς καὶ ἐπανάγοντος. οὐ γὰρ ἐν τῷ μὴ ἁμαρτάνειν ἐστὶ τὸ κατορθοῦν, ἀλλ' ἐν τῷ τὰ δέοντα εἰδέναι. καὶ τὸ μὲν ἡ κάθαρσις τῆς οἰήσεως· τὸ δὲ ἡ τῆς ΕΠΙΣΤΗΜΗΣ παρουσία ἐργάζεται. εἰ δὲ τὸ μὴ ἁμαρτάνειν καὶ ἐν τῷ κατορθοῦν, ὅρα τί συμβήσεταί σοι. ΤΕΡΠΝΟΤΑΤΟΝ ΒΙΟΝ ΩΔΕ ΔΙΑΞΕΙΣ. τίς δὲ οὗτος; ὁ ἀπὸ τῆς ἀρετῆς τὸ ἡδὺ κεκτημένος· ᾧ συνδεδράμηκεν ἅμα τὸ ἀγαθὸν, καὶ τὸ ἡδύ. ᾧ οὖν ποθούμενον μὲν τὸ καλὸν, ποθούμενον δὲ καὶ τὸ ἡδύ, συνελθόντα τί ἂν εἴη; τοῦτο, φησὶν, ὁ ΒΙΟΣ ΤΕΡΠΝΟΤΑΤΟΣ. ὁ γὰρ τὸ ἡδὺ μετὰ τοῦ αἰσχροῦ ἑλόμενος, εἰ καὶ πρὸς ὀλίγον δελεασθείη τῇ ἡδονῇ, διὰ γοῦν τὸ αἰσχρὸν εἰς μεταμέλειαν ἐπώδυνον ἔρχεται· ὁ δὲ τὸ καλὸν μετὰ πόνου προτιμήσας, κἂν παραυτίκα τῇ ἀηδίᾳ βαρύνηται, ἀλλ' ἡ τοῦ καλοῦ

NESCIMVS FACIAMVS: ſed geramus, cùm oportet, quę nouimus. Inducit enim in errorem inſcitia: Peritia verò tẽpus quęrit opportunum. Sunt enim bona multa, quę temporum commutatione mala fiunt. Ordine ergo pręceptum intelligamus, & ipſo quidem, quòd actiones nos iubet cohibere, peccandi licentiam tollere: eo autem, quòd non omnia diſcere adhortatur; ſed quęcunque oportet; ad optima agenda nos etiam inducere. Non enim in minimè peccando bene agere ſitum eſt; ſed in cognoſcendo quę deceant. & illud quidem efficit ſtultæ opinionis purgatio: iſtud autem SCIENTIAE poſſeſſio. Si verò non peccare habetur etiam in rectè agendo; vide iam quid tibi futurum! ITA VITAM EXIGES IVCVNDISSIMAM. Verùm, quęnam iſta? Quę ex virtute adepta ſit quod delectat. In qua ſimul concurrat cum delectatione probitas. Si igitur boni cupiditate, ſi iucundi afficimur; quídnam illa fuerint, cùm ſimul coiuerint? VITA, inquit, IVCVNDISSIMA. Qui enim delectationem cum turpitudine amplectitur, quantumuis exiguo temporis ſpatio voluptate ineſcetur; turpitudine tamen in grauem pœnitudinem agitur. Qui verò honeſtatem cum laboribus, potiorẽ ducit; etſi primũ inſueta acerbitate grauetur, boni

tamen coniunctione dolorem facit mitiorem; purámque tandem cum virtute voluptátem percipit. Si enim cum voluptate, cōtra honestatem geratur aliquid; id ipsum quidem elabitur quod iucundum est, manet autem quod turpe. Vnde necessariò vita sit acerbissima, quæ nequissima; IVCVNDISSIMA autem, quæ optima. Atque hęc quidem de istis. Quoniam autem ipsa etiam corporis moderatio ad animi perfectionem refertur, vide deinceps, quid adiungat.

32 NEQVE VERO NEGLIGENDA CVRA EST VALITVDINIS; 33 SED MODVS ADHIBENDVS POTIONI, ET CIBO, ATQVE EXERCITATIONI. 34 FORE AVTEM OPTIMVM ASSERO, QVI TIBI MOLESTIAM NON PARIAT.

Corporis haud spernenda iuuat quæ commoda cura.
Sed potúsq; , cibiq; modus sit, & exercēdi.
Ipse modū statuo, qui te non læserit ipsum.

Mortale CORPVS, quod nobis instrumenti loco ad vitam in terris agendam, datum est, nec decet immodicis curationibus saginare; nec vexare nimis necessariorum substractione. Officit enim exæquo vtrumque, & vsum ipsius adimit. Quò fit, vt mediocriter ipsi inseruire,

συζεύξεις ἐλαφρυνεῖς τὸν πόνον, καὶ τέλος πρὸς τῇ ἀρετῇ καὶ ἡδονὴν καθ᾽ ὃ ἐστὶ καρποῦται. εἰ μὲν γὰρ πράξαιο τι μετὰ ἡδονῆς αἰσχρὸν, ἡ μὲν ἡδονὴ παρῆλθε, τὸ δὲ κακὸν μένει. ἐξ ὧν λυπηρότατον ἀνάγκη εἶναι τὸν κάκιστον ΒΙΟΝ ΤΕΡΠΝΟΤΑΤΟΝ δὲ τὸν ἄριστον. καὶ ταῦτα μὲν περὶ τούτων. ἐπειδὴ δὲ καὶ ἡ τοῦ σώματος παιδαγωγία πρὸς τὴν τῆς ψυχῆς τελείωσιν οὐ διαφορὰν ἔχει, ὅρα ἑξῆς τί ἐπάγει.

32 ΟΥΔ᾽ ΥΓΙΕΙΑΣ ΤΗΣ ΠΕΡΙ ΣΩΜ᾽ ΑΜΕΛΕΙΑΝ ΕΧΕΙΝ ΧΡΗ· 33 ΑΛΛΑ ΠΟΤΟΥ ΤΕ ΜΕΤΡΟΝ, ΚΑΙ ΣΙΤΟΥ, ΓΥΜΝΑΣΙΩΝ ΤΕ, 34 ΠΟΙΕΙΣΘΑΙ. ΜΕΤΡΟΝ ΔΕ ΛΕΓΩ ΤΟΔ᾽, Ο ΜΗ Σ᾽ ΑΝΙΗΣΕΙ.

Τὸ θνητὸν ΣΩΜΑ πρὸς τὴν ἐπὶ γῆς διαγωγὴν ὄργανον ἡμῖν δοθὲν, οὔτε πιαίνειν προσήκει ταῖς ἀμέτροις γυμνασίαις, οὔτε κατατρύχειν ἐνδείας ὑπερβολαῖς. ἐμπόδιον γὰρ ἐπ᾽ ἴσης ἑκάτερον, καὶ ἀναιρετικὸν τῆς χρείας, αὐτοῦ προσγέγονε. διὸ μετρίως θεραπεύειν αὐτὸ,

καὶ μὴ περιορᾶν ἐξυβρίζον, ἢ ὑπὸ νοσημάτων ἐνοχλούμενον ὁ λόγος παραινεῖ, ὅπως ἂν ἐν τῷ κατὰ φύσιν σῳζόμενον ἀπαραποδίστως τῇ ἡγουμένῃ ψυχῇ τὰς ἐνεργείας αὐτοῦ παρέχηται, ταύτῃ δυνάμενον ἀκολουθεῖν, ᾗ ἂν ἐκείνη ἄγῃ. τὸ γὰρ χρώμενον ἡ ψυχή, τὸ δὲ ᾧ χρῆται τὸ σῶμα, οὗ ΤΗΝ ΕΠΙΜΕΛΕΙΑΝ ΕΧΕΙΝ ΔΕΙ τὴν τεχνίτην. οὐ γὰρ χρῆσθαι δεῖ μόνον ἐθέλειν αὐτῷ· ἀλλ᾽ ὅπως εὖ ἔχον ἡμῖν ὑπηρετῆται, τὴν ἐνδεχομένην ποιεῖσθαι πρόνοιαν. ἐπεὶ δὲ ἡ φύσις αὐτοῦ ἐν γενέσει καὶ φθορᾷ συνεχεῖ καθέστηκε, καὶ πλήρωσις καὶ κένωσις αὐτὸ πθιώοισι, τῶν μὲν τροφῆς τὸ ἀπορρέον ἀναπληρούσης, τῶν δὲ γυμνασίων τὸ πλεονάζον ὑπεξαιρούντων, ΜΕΤΡΟΝ ἐπιστῆσαι δεῖ τῇ τῶν εἰσαγομένων πληρώσει, καὶ τῇ τῶν διαφορούντων κενώσει. τὸ δὲ ΜΕΤΡΟΝ ἐστὶν ὁ λόγος ὁ συναρμόζων τὴν τοῦ σώματος ἕξιν ταῖς διανοητικαῖς ἐνεργείαις τῆς ψυχῆς, καὶ διὰ τοῦτο τοῖς τῷ φιλοσόφῳ πρεπούσης ΥΓΙΕΙΑΣ ἐπιμελούμενος. οὕτως οὖν ΓΥΜΝΑΣΙΑ, καὶ τροφὰς ἐκλέξεται, ἃ μὴ πιαίνει πρὸς ὑπερβολὴν τὸ ΣΩΜΑ, μηδὲ ὑπὲρ ΜΕΤΡΟΝ αὐτὸ τῶν
γρ. ἀπείρξεται. νοερῶν κινήσεων ἀπεργάζεται. οὐ γὰρ ΣΩΜΑΤΟΣ ἁπλῶς ΕΠΙΜΕΛΕΙΤΑΙ· ἀλλὰ ΣΩΜΑΤΟΣ διανοίᾳ ὑπηρετουμένου.

neque negligere, cùm insultat; aut morbis etiam agitatur, versus adhortetur: vt, cùm secundum naturam constiterit, operam suã, nullo auertẽte, animo nauet principatum gerenti; eóque duci queat, quò ipse voluerit. Est enim animus ipse, qui vtitur; CORPVS autem, quod sui præbet vsum: cuiúsque artifici CVRA esse debet. Neque enim eo tantùm velle vti necessarium est: sed iustam etiam dare operam, vt rectè se habeat, quò nobis inseruiat. Quoniam autem natura ipsius in assidua generatione, atque corruptione versatur; ipsúmque nutriantur repletio, & inanitio, partim quidem alimento refundente quod effluxit; partim verò exercitationibus quod abundat expellentibus; MODVS eorum, quę cùm ingesta, egestáque sunt, impletionem atque vacuationem faciunt, statuẽdus est. Fuerit verò MODVS iste, ratio illa, quę corporis habitum cum animi operationibus, ad cogitationem, cõmentationémque pertinẽtibus coniungit, & ob id VALITVDINIS curàm habet, quę sapientiæ studiosum deceat. Eliget igitur iste & EXERCITATIONES, & alimenta, quę nec immodicè saginent CORPVS; nec ipsum supra MODVM ab animi cogitationibus auertant. Non enim CORPORIS CVRAM GERIT simpliciter; sed CORPORIS animi cogitationibus inseruiẽtis,

quò fit, vt Athleticam victus rationem aspernetur; quæ CORPORI famulatur, neglecto animo: omnémque fugiat corporis curationem, quæ σωμασκία dicitur, tanquam intelligenti animi luci contrariam. Verùm, quantùm potest ad disciplinarum tractationem, & ad præclara opera bonus inseruire CORPORIS habitus; eum ille adipisci conabitur, qui prudenter vitam agere instituit. Ad eum siquidem referuntur quæ habentur, vbi MODVM SE DICERE ait, QVI TE NON LAEDAT. Quasi dicat; TE (qui animus es rationis particeps) damno non afficiat HABENDI CORPORIS MODVS: TE, inquam, eorum, quæ superiùs præcepta sunt, obseruatorem atque custodem, CIBOS eiusmodi, ET POTIONES, ATQVE EXERCITATIONES adhibere oportet, quæ docile CORPVS ad virtutum opera efficiant: quæque quod est rationis expers ad respuendas moderantis animi habenas nequaquam impellant. Est verò magna attentione CVRANDI CORPORIS expendenda ratio: tanquam motuũ, qui ab ipso prodeũt, caussam sustineat Ingrauescit enim vitij particeps equus, non simpliciter; sed si ab ijs malè educatus fuerit, à quibus regitur. In MODI autem ratione circa CORPVS assignanda, CIBO POTIONEM ideò

ὅθεν τὴν ἀθλητικὴν ἀγωγὴν παραιτήσεται, ὡς αὐτὸ ψυχῆς ΣΩΜΑ θεραπεύουσαν. καὶ πᾶσαν τὴν λεγομένην σωμασκίαν φεύξεται, ὡς ἐπανισταμένην τῷ νοερῷ φωτὶ τῆς ψυχῆς. ὅσῃ δὲ τῇ περὶ τὰ μαθήματα θεωρίᾳ, καὶ τῇ περὶ τὰς καλὰς ταξεις αὐτουργίᾳ ὑπηρετεῖσθαι δύναται τῇ τοῦ ΣΩΜΑΤΟΣ εὐεξίᾳ, ταύτην περιποιήσει ἑαυτῷ ὁ τὸν τοῦ φρονεῖν βίον ἑλόμενος. πρὸς τοῦτον γὰρ εἴρηται, ΜΕΤΡΟΝ ΤΟ ΛΕΓΩ ΤΟΔ', Ο ΜΗ Σ' ΑΝΙΗΣΕΙ. ΣΕ φησι, τὸν ὄντα λογικὴν ψυχὴν, μὴ βλαπτέτω τὸ ΜΕΤΡΟΝ τῆς τοῦ ΣΩΜΑΤΟΣ ΕΠΙΜΕΛΕΙΑΣ. ΣΕ τὸν τῶν προτέρων παραγγελμάτων φύλακα, τοιαῦτα ΣΙΤΙΑ, ΠΟΤΑ, ΚΑΙ ΓΥΜΝΑΣΙΑ ἐκλέγεσθαι χρὴ, ἃ τὸ ΣΩΜΑ πειθήνιον πρὸς τὴν τῶν ἀρετῶν χρῆσιν ἀπεργάζεται, ἃ μὴ ἐκφέρει τὸ ἄλογον πρὸς ἀφηνίασιν τοῦ ἡγεμονοῦντος λόγου. μετὰ πλείστης δὲ προσοχῆς ποιεῖσθαι δεῖ τὴν παραμέτρησιν τῆς ΕΠΙΜΕΛΕΙΑΣ ΤΟΥ ΣΩΜΑΤΟΣ, ὡς καὶ τοῦ τύπου παραγωγῶν κινημάτων τὴν αἰτίαν ὑφέξουσαν. βρίθει γὰρ ὁ τῆς κακίας * ἵππος, οὐχ ἁπλῶς, ἀλλ' ὅτε μὴ καλῶς εἴη τεθραμμένος *τὴν ἡνίοχον. ἐν δὲ τῷ ΜΕΤΡΩ τῷ περὶ τὸ ΣΩΜΑ, τὸ ΠΟΤΟΝ τοῦ ΣΙΤΙΟΥ

θε' περιεξις

* μετέχων

* ὑπὸ

προσέταξεν, ὅτι μᾶλλόν ἐστι δυσφύλακτον, καὶ εὐόλισθον εἰς κατάποσιν, καὶ παρακινητικὸν τῆς τοῦ ΣΩΜΑΤΟΣ εὐεξίας. λάθοι γὰρ ἄν τις πολλαπλάσια τοῦ ΜΕΤΡΟΥ πιών, ἢ φαγών. τὰ δὲ ΓΥΜΝΑΣΙΑ τρίτα τέτακται, ὡς ἐπανορθούμενα τὴν ἀπὸ τῆς τροφῆς πλήρωσιν, καὶ πάλιν πρὸς τὸ ΥΓΙΕΙΝΩΣ τρέφεσθαι παρασκευάζοντα. κύκλῳ γὰρ δὴ ἀνταποδίδοται ταῦτα ἀλλήλοις, ΤΡΟΦΗ, ΓΥΜΝΑΣΙΟΝ. καὶ ΓΥΜΝΑΣΙΟΝ, καὶ ΤΡΟΦΗ. χορηγία γὰρ τῷ μὲν δύνασθαι γυμνάζεσθαι, τὸ εὖ τεθράφθαι. τῷ δὲ εὐεκτικῶς τρέφεσθαι, τὸ γεγυμνάσθαι συμμέτρως. ΜΕΤΡΟΝ δὲ τούτων ἄλλο ἄλλῳ πρὸς τὸ οἰκεῖον ἐπιτήδευμα τῆς τοῦ ΣΩΜΑΤΟΣ ΕΠΙΜΕΛΕΙΑΣ ἑκάστῳ τεινούσης. πᾶς γὰρ τῆς ἑαυτοῦ προαιρέσεως ὄργανον αὐτὸ ποιεῖσθαι σπουδάζει· ὁ μὲν παλαιστρικός, τῶν περὶ πάλην κινημάτων· ὁ δὲ γεωργικός, τῶν περὶ γεωργίαν πόνων. καὶ ἄλλος πρὸς ἄλλο ἥκει, καὶ μεθαρμόζεται τὴν τοῦ ΣΩΜΑΤΟΣ ὑπουργίαν. τί οὖν ὁ φιλόσοφος; πρὸς τί βλέπων ἐθελήσει τὸ ΣΩΜΑ παιδαγωγεῖν; καὶ τίνος ὄργανον αὐτὸ σπουδάσει ποιήσασθαι, ἢ δῆλον ὅτι φι-
γ' ὡς λοσοφίας, καὶ τῶν ταύτης ἔργων; " οἱ οὖν οἰόντε φρονήσεως ὄργανον ἡγεῖσθαι τὸ σῶμα,

premisit, quòd difficiliùs ab ea caueatur: quódque in procliui magis sit; & quòd bonam corporis habitudinem conturbet. Imprudens enim supra modum POTIONI faciliùs quis indulserit, quàm CIBO. Addidit autem tertio loco EXERCITATIONIS præceptum, tanquam ea repletionem, quæ fit ab alimentis, corrigi, & rursus ad salubrem nutritionem viam præparari significet. Circulo enim veluti quodã in sese mutuò redeunt ALIMENTVM & EXERCITATIO: itémque EXERCITATIO & ALIMENTVM. Vires nanque ad exercitationem nutritio suggerit, quæ idonea est: ad nutritionem autem, quæ firmum corporis habitum efficiat, exercitationis temperatio. Sed est istorum MODVS alius alij, pro cuiusque CVRANDI CORPORIS ratione, quæ spectat ad institutum. Dãt enim operam omnes, vt ipsum ad id commodum efficiant, quod amplexi sunt. Palæstricus quidem ad luctæ motus: agricola verò ad labores agriculturæ sustinendos. Et alius denique ad aliud, CORPORIS obsequium trahit, atque fingit. Quídnam igitur Philosophus? Ad quid intentus volet CORPVS dirigere? Cuius instrumentum potiùs, quàm philosophiæ, atque operum ipsius, studebit efficere? Qua ratione igitur prudentiæ instrumentum CORPVS potest euadere;

sic ipsum modis omnibus educabit, atque instituet; animi imprimis curam habens; CORPORIS autem propter istum. Neque enim illud ei prætulerit, qui vtitur. neque omnino eius curam rursum negliget, propter vtentem; sed suo loco eius, tanquam organi, CVRAM geret, ad ipsius robur, qui vtitur, CORPORIS etiam valitudinem referens. Itaque non quibuslibet rebus ipsum educabit; sed quibus solis oportet. Sunt enim nonnulla, quibus vesci non decet, tanquam illis corpus ingrauescat, & qui animo cognatus est spiritus ad viliores affectiones pertrahatur; de quibus postea sermo futurus est, cùm (a cibis, de quibus est locutus in lustrationibus, atque expiationibus animi, adhibito iudicio temperandum) monebit. Significat enim quæ sunt eiusmodi penitùs esse reijcienda. Quorum autem vesci licet, quantitatem, & tempus metietur; &, vt inquit Hippocrates, diligenter considerabit anni tempestatem, regionem, ætatem; cæteráque huius formæ omnia: neque, nisi excussa ratione, ijs impleri concedet, quibus vesci fas est: nec eandem iuueni atque seni victus rationem temerè præscribet; aut sano atque ægroto: aut tyroni in philosophia, atque in eadem maximè prouecto.

οὕτως αὐτὸ διὰ πάντων θρέψει τε καὶ παιδεύσει, ψυχῆς μὲν προηγουμένως ΕΠΙΜΕΛΟΥΜΕΝΟΣ, διὰ ταύτην δὲ καὶ τοῦ ΣΩΜΑΤΟΣ. οὔτε γὰρ προτιμήσει αὐτὸ τῆς χρωμένης οὔτε παντελῶς ἀμελήσει αὐτοῦ πάλιν, διὰ τὴν χρωμένην· ἀλλ' ἐν τάξει τῇ πρεπούσῃ, ὡς ὀργάνου ποιήσεται τὴν ΕΠΙΜΕΛΕΙΑΝ πρὸς τὴν τῆς χρωμένης ἀρετὴν καὶ τὴν τοῦ ΣΩΜΑΤΟΣ ΥΓΙΕΙΑΝ ἀναφέρων. διὸ οὐ πανταχόθεν αὐτὸ θρέψει, ἀλλ' ἀφ' ὧν δεῖ μόνων. ἔστι γὰρ ἃ μὴ δεῖ προσφέρεσθαι, ὡς βαρύνοντα τὸ ΣΩΜΑ, καὶ καθέλκοντα τὸ συμφυὲς πνεῦμα τῆς ψυχῆς πρὸς ὑλικωτέρας ἐμπαθείας, περὶ ὧν ὕστερον ὁ λόγος φησίν·

Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων. ——

τὰ τοιαῦτα οὐδὲ παντελῶς παραιτήσεται· ὧν δὲ ἐξὸν προσφέρεσθαι τὴν ποσότητα, καὶ τὸν καιρὸν ΜΕΤΡΗΣΕΙ, καὶ, ὥς φησιν Ἱπποκράτης, ὥραν, καὶ χώραν, καὶ ἡλικίαν περιεργάσεται, καὶ πάντα ὅσα τοῦ τοιούτου τύπου, οὐκ ἀνεξετάστως ἐπιτρέπων ἐμπίπλασθαι, ὧν ἐξὸν μεταλαμβάνειν. οὐδὲ ἀκρίτως νέον καὶ πρεσβύτην ὁμοίως διαιτᾶσθαι, ἢ ὑγιεινὸν καὶ νοσώδη, ἢ ἀρχόμενον φιλοσοφίας καὶ εἰς ἄκρον αὐτῆς ἥκοντα.

ταῦτα δὲ πάντα συνείληφε τὸ Πυθαγορικὸν ΜΕΤΡΟΝ, τῇ προσθήκῃ ΜΗ Σ' ΑΝΙΗΣΗ. πάντα γὰρ εἰς τὴν φιλόσοφον εὐζωΐαν συντείνοντα πρὸς τὴν τοῦ ΣΩΜΑΤΟΣ ΕΠΙΜΕΛΕΙΑΝ ἐπέτρεψε τῷ βραχεῖ τούτῳ ῥήματι, καὶ τοῖς προειρημένοις περὶ ΥΓΙΕΙΑΣ ψυχῆς ἐπήγαγεν, ΟΥ Δ' ΥΓΙΕΙΑΣ ΤΗΣ ΠΕΡΙ ΤΟ ΣΩΜ' ΑΜΕΛΕΙΑΝ ΕΧΕΙΝ ΧΡΗ, ὡς ἐκεῖ μὲν τὴν τοῦ χρωμένου ἀρετὴν παραδίδοσθαι· ἐνταῦθα δὲ τὴν τοῦ ἐργαλείου σωτηρίαν. συνάψον οὖν ταῦτα ἐκείνοις, καὶ εὑρήσεις, ὅ τις εἶ, ᾧ παραγγέλλεται, τοιοῦτο δεῖν ποιεῖσθαι τὸ ΜΕΤΡΟΝ τῆς περὶ τὸ ΣΩΜΑ τάξεως, Ο ΜΗ Σ' ΑΝΙΗΣΕΙ, ὃ μὴ ἐμποδιεῖ τὴν φιλόσοφον πρόθεσιν, ἐπωφελὴς δὲ τῇ συνεργείᾳ τὴν πρὸς ἀρετὴν ὁδεύουσαν ψυχήν. ΠΟΤΟΥ δὲ καὶ ΣΙΤΟΥ ΜΕΤΡΟΝ εἶπε, τὰς ὑπερβολάς, καὶ τὰς ἐκλείψεις ἀπαγορεύων ὁ λόγος, τὸ δὲ μέσον καὶ σύμμετρον ἀσπαζόμενος· ὅθεν καὶ τὸ γαστρὸς κρατεῖν, καὶ ὕπνου, λαγνείης τε, καὶ θυμοῦ, εὐκόλως παραγίνεται. τὸ γὰρ νῦν λεγόμενον ΜΕΤΡΟΝ τὴν ἐν ἐκείνοις ἀμετρίαν κολάζει. καὶ ὑπεξαιρεῖται τὸ λυποῦν, καὶ καθέλκον τὴν πρὸς νοῦν θεὸν ἐπειγομένην ψυχήν. δεῖ γὰρ αὐτὴν ἀνιοῦσαν πρὸς νοῦν γαλήνην

Hæc verò omnia MENSVRA Pythagorica complexa est; cùm NE TIBI MOLESTIAM PARIAT, adiecit. Cuncta enim, quę ad vitæ felicitatem sapientiæ studioso conferũt, verborum ista breuitate ad CORPORIS CVRAM retulit: & ad ea, quæ antè dicta fuerant, CORPORIS etiam VALITVDINEM NEQVAQVAM ESSE NEGLIGENDAM adiecit: vt ibi vtentis virtutem significari demonstraret; hîc autem instrumenti incolumitatem. Ista igitur illis coniunge, & inuenies, quisquis sis, cui præcipitur, eum debere MODVM existere regendi corporis, QVI TIBI MOLESTIAM NON ADFERAT: qui rectum vitæ institutum non remoretur: sed qui animum ad virtutem contendentem opera sua adiuuet. Quòd autem POTIONIS, ATQVE CIBI MODVM dixit; excessum atque defectum vetare se versus innuit; amplecti autem quod medium sit, atque temperatum; vnde & gulæ moderari, & somno, & veneri, & iræ nullo negotio conceditur. Quod enim hoc loco MODI nomine significatur, excessum reprimit, qui in illis existit; dolorémque non adimit tantùm, sed illud etiam, quod festinantem ad Deum, qui mens est, animum retrahit, atque deprimit. Decet enim ipsum, cùm ad mentem ascendit, tranquillum

existere, nec perturbationum ventis agitari; sed habere rectè composita quæ inferiora sunt, ad quietam superiorum contemplationem. hic ipse MODVS est, QVI DOLOREM NON PARIET. Hoc ipsum, quod & ventrem simul continebit, & organi incolumitatem præstabit. Ostendet præterea animi virtutem; nec CORPORIS soluet habitum. Pars enim virtutis est, & seruandi organi rationem non ignorare, & commodum reddere ad vsum, qui sapientiæ studioso conueniat. Quoniam autem non in ALIMENTIS tantùm, atque EXERCITATIONIBVS, versatur CORPORIS cultus, sed multis etiam rebus alijs indiget (cuius generis vestimenta sunt, & calceamenta, & supellex varia, atque domus, qua continentur ista omnia: opus autem est in istis etiam MEDIOCRITATE, quæ luxum atque immunditiam à tota vitæ ratione remoueat) non immeritò subiecit.

35 VTERE VICTVS RATIONE MVNDA, QVAE DELICIIS CAREAT: 36 ET CAVE EA FACERE, QVAE SVSTINENT INVIDIAM: 37 NEC SVMPTVS ALIENO TEMPORE: VT QVI RECTI IGNARVS EST.

38 NEQVE

ἔχειν ἀπὸ τῶν παθητικῶν κινημάτων, καὶ τετάχθαι αὐτῇ τὰ κάτω καλῶς πρὸς τὸ ἀθόρυβον τῆς ἄνωθεν θεωρίας. τοῦτο οὖν τὸ ΜΕΤΡΟΝ, Ο ΜΗ Σ' ΑΝΙΗΣΕΙ. τοῦτο τὸ κρατοῦν γαστρὸς ἅμα, καὶ τὴν τοῦ ὀργάνου σωτηρίαν ποιούμενον, τὸ ἀρετὴν ψυχῆς ἐπιδεικνύμενον, καὶ τὴν τοῦ σώματος ἕξιν μὴ καταλῦον. μέρος γάρ ἐστιν ἀρετῆς καὶ τὸ εἰδέναι σώζειν τὸ ὄργανον, καὶ συναρμόζειν αὐτὸ πρὸς τὴν φιλόσοφον χρῆσιν. ἐπεὶ δ' οὐ μόνον ἐν ΤΡΟΦΑΙΣ ΚΑΙ ΓΥΜΝΑΣΙΟΙΣ ΕΣΤΙΝ ἡ τοῦ ΣΩΜΑΤΟΣ θεραπεία, ἀλλὰ καὶ ἄλλων πολλῶν προσδεῖται, οἷον ἱματίων, ὑποδημάτων, σκευῶν παντοδαπῶν, καὶ τῆς πάντα ταῦτα ὑποδεχομένης οἰκήσεως· δεῖ δὲ καὶ ἐν τούτοις τοῦ ΜΕΤΡΟΥ, ὃ τρυφὴν καὶ ἀκαθαρσίαν ἐξορίζει τῆς ὅλης ἡμῶν διαίτης, εἰκότως ἐπήγαγεν.

35 ΕΙΘΙΖΟΥ ΔΕ ΔΙΑΙΤΑΝ
ΕΧΕΙΝ ΚΑΘΑΡΕΙΟΝ Α-
ΘΡΥΠΤΟΝ· 36 ΚΑΙ ΓΕ-
ΦΥΛΑΞΟ ΓΕ ΤΑΥΤΑ
ΓΟΙΕΙΝ, ΟΓΟΣΑ ΦΘΟ-
ΝΟΝ ΙΣΧΕΙ. 37 ΜΗ ΔΑ-
ΓΑΝΑΝ ΠΑΡΑ ΚΑΙ-
ΡΟΝ, ΟΓΟΙΑ ΚΑ-
ΛΩΝ ΑΔΑΗΜΩΝ.

38 ΜΗΔ' ΑΝΕΛΕΥΘΕΡΟΣ ΙΣΘΙ· ΜΕΤΡΟΝ Δ' ΕΠΙ ΠΑΣΙΝ ΑΡΙΣΤΟΝ.

Οὐ μόνον, φησὶν, ἐν σιτίοις, καὶ ποτοῖς, ΜΕΤΡΟΝ καλὸν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ΑΠΑΣΙΝ, ὡς τῶν δι' ὑπερβολὴν, καὶ ἔλλειψιν ἁμαρτημάτων καθαρεῦον. γένοιτο γὰρ ἂν ἐν ΠΑΣΙΝ, οἷς εἴπομεν, ἀμετρία πολλή· ἡ μὲν πρὸς τὸ πολυτελὲς ἐξάγουσα· ἡ δὲ πρὸς τὸ ῥυπαρὸν συνωθοῦσα. ἑκάτερον δὲ μεμπτὸν, καὶ οὐ * φιλόσοφον ἦθος, οὐδὲ στοχαζόμενον τῆς σωματικῆς εὐμετρίας. ἐπιτεινομένη γὰρ καθαρειότης, θρύψις καὶ μαλακία εὑρίσκεται· ἐπιτεινομένη δὲ λιτότης ἀκαθαρσία καὶ ῥύπος γίνεται. ἵν' οὖν μήτε ἐκεῖνο πάθωμεν διὰ καθαρειότητα, μήτε τοῦτο διὰ λιτότητα, ΜΕΣΟΙ βαίνωμεν, τὰς παρακειμένας ἑκατέρῳ κακίας ἐκκλίνοντες, καὶ τὸ ἕτερον τοῦ ἑτέρου σωφρονισμὸν ποιούμενοι, λιτὴν οὕτως ἐπιτηδεύοντες ΔΙΑΙΤΑΝ, ὡς μὴ ἀκάθαρτον· καὶ ΚΑΘΑΡΕΙΟΝ οὕτως, ὡς μὴ ΤΡΥΦΗΛΗΝ. διὸ τὸ ΜΕΤΡΟΝ προτιμήσωμεν ἐν πάσῃ τῇ περὶ τὸ σῶμα κατασκευῇ, ἱμάτιον ἐκλεγόμενοι ΚΑΘΑΡΕΙΟΝ ΑΘΡΥΠΤΟΝ· καὶ πᾶν ὁποιοῦν τῶν περὶ

κτ'

38 NEQVE TAMEN ESTO SORDIDVS. IN OMNIBVS AVTEM MODVS ERIT OPTIMVS.

Sit mũdus victus; sit luxꝰ sed tamen exsors.
Quæcũque inuidiã pariũt, vitãda putato;
Et sumptus vanos, recti quos nescius audet;
Et sordes. Præstat quauis modus optimus in re.

Non solùm, inquit, in cibo, & potu, MODVS bonus est; sed QVIBVSLIBET etiam alijs in rebus; tanquam iis liberet, quæ vel excessu, vel defectu peccantur. Possunt enim in omnibus, quæ diximus, multa fieri prçter MODVM; partim quidem, cùm ad luxum abducimur; partim verò, cùm ad sordes compellimur. Est verò vtrumque vituperandum, nec philosophi moribus congruum: immò verò à recta etiam corporis moderatione alienum. Abit enim in luxum atque mollitiam munditia, quæ nimia est: in sordes autem atque spurcitiam, tenuitas, quæ summa. Vt illa igitur minimè patiamur, propter munditiam; nec ista etiam, propter tenuitatem: medij incedamus adiacentia vtrique viria declinantes; & altero in alterius remedium vrentes: ita nimirum VICTVS tenuitatem amplexi, vt sordibus careat: ita rursum MVNDITIAM, vt à DELICIIS remota sit. MODVM igitur in rebus omnibus, quæ

corporis nomine molimur, imprimis adhibeamus: non vestitum solùm eligentes, qui MVNDVS sit, ATQVE DELICIIS CARENS; sed quodlibet etiam aliud, quod ad ipsum pertineat. Decet enim, quia rationis particeps animus corpori moderatur, omnia etiam, quę corporis sunt, cum duce ratione congruere; quę nec LVXVS, nec SORDIVM patiēs, omnia iudicat suæ dignitati cōsentanea esse debere. Ne ergo ad sumptuosorū vsum pertrahatur; quod DELICIIS caret amplectitur. Ne deinde sordibus, rerúmq; deformitati assuescat, MVNDITIAM eligit. Verbi gratia, vestimēta quidē nequaquam vilia, sed MVNDA. Supellectilem nō auream; non argenteam: sed ex parabili materia cōfectam. Non domum fulgentem lapidibus exquisitis; non eximia pulchritudine atque magnitudine constructam; sed corporis vsui congruam, atque respondentem. Omnino autem MVNDITIES in tota VICTVS ratione, DELICIAS, tanquam præter vsum sint, respuit: admittit verò quod deliciis caret, tanquam necessitati subseruiat. Nam & vestimenta, & domus, & supellex omnis, tumdemum sui vsum præbent optimè, cùm apta, mundáque sunt. Quid enim magna lance opus est, si parùm sit obsonij? quid immunda, si obsonium labefactet? Quid domo etiam illis ampliore, quàm vsus postulat;

τὸ σῶμα ΚΑΘΑΡΕΙΟΝ ΑΘΡΥΠΤΟΝ ΕΧΕΙΝ ἐθέλοντες. πρέπει γὰρ, λογικῆς ψυχῆς τοῦ σώματος ἡγουμένης, καὶ τὰ περὶ τὸ σῶμα πάντα συντετάχθαι πρὸς τὸν ἡγούμενον λόγον, ὅστις οὔτε ΤΡΥΦΗΣ, οὔτε ΑΚΑΘΑΡΣΙΑΣ ἀνέξεται, τῇ κατ᾽ αὐτὸν ἀξίᾳ πάντα δεῖν εἶναι λογιζόμενος ΣΥΜΜΕΤΡΑ. ἵν᾽ οὖν μὴ περιέλκοιτο τῇ χλίσιν τῶν πολυτελῶν, τὸ ΑΤΡΥΦΟΝ ἐπιτηδεύει. ἵνα δὲ μὴ ῥύπῳ καὶ ὑλικῇ ἀμορφίᾳ συνοικῇ, τὸ ΚΑΘΑΡΕΙΟΝ ἐκλέγεται· οἷον, ἱμάτιον οὐ λεπτὸν μὲν, ΚΑΘΑΡΕΙΟΝ δέ. σκεύη οὐ χρυσᾶ, οὐδὲ ἀργυρεᾶ, ἀλλ᾽ ἐκ τῶν εὐπορίστων ὑλῶν ΚΑΘΑΡΕΙΑ. οἰκίαν οὐ πολυτελέσι λίθοις κατηνθισμένην, οὐδὲ περιττῶς εἰς κάλλος καὶ μέγεθος ἐξειργασμένην· ἀλλὰ σύμμετρον τῇ τοῦ σώματος χρείᾳ. ΚΑΘΑΡΕΙΟΝ δὲ ὅλως περὶ ΠΑΣΑΝ τὴν ΔΙΑΙΤΑΝ τὸ μὲν ΤΡΥΦΗΛΟΝ, ὡς ἔξω τῆς χρείας, ἀρνεῖται· τὸ δὲ ΚΑΘΑΡΕΙΟΝ ὡς μάλιστα τὴν χρείαν ἀποπληροῦν ἐγκρίνει. καὶ γὰρ ἱμάτιον, καὶ οἶκος, καὶ σκεῦος ἅπαν τότε τὴν αὐτοῦ χρείαν καλῶς παρέχεται, ὅταν σύμμετρον ᾖ καὶ τὸ ΚΑΘΑΡΕΙΟΝ. τί γὰρ μεγάλου δεῖται πίνακος εἰς μικρὸν ὄψον; τί δὲ ῥυπαροῦ μέλλοντος ἀφανιεῖν τὸ ὄψον; οἴκου δὲ ὑπὲρ τὴν χρείαν τί δεῖ τοῖς μέλλουσιν

γρ. χρῆσιν, ἢ ἕξιν

γρ. ΑΘΡΥΠΤΟΝ,

ἐν μιᾷ γωνίᾳ αὐτοῦ κεῖσθαι; τί δὲ ἀκαθάρτου
τὴν τῆς οἰκήσεως χρείαν οὐ παρέχοντος; τὸ δὲ
αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν εὑρήσεις ἑκατέρωθεν ἄχρη-
στον ὄν, τὸ μὴ μετὰ τοῦ ΑΤΡΥΦΟΥ ΚΑ-
ΘΑΡΕΙΟΝ. ἅμα γὰρ ὑπερέβη τὸ ΜΕ-
ΤΡΟΝ τῆς χρείας, καὶ εἰς τὸ ἄπειρον προῆλ-
θε τῆς ἐπιθυμίας. Διὸ πάντα τὰ περὶ τὸν βίον
μεμετρήσθω σοι ταῖς μεσότησι ταῖς διαφευ-
Ἢ γούσαις τὰς προκειμένας" αἰτίας. ΕΙΘΙ-
κακίας ΖΟΥ ΔΕ ΔΙΑΙΤΑΝ ΕΧΕΙΝ
φησί, ΚΑΘΑΡΕΙΟΝ. εἶτα ὁρῶν
τὴν εἰς ΤΡΥΦΗΝ ἔκπτωσιν, προσέθηκεν
ΑΘΡΥΠΤΟΝ. καὶ εἰ ΑΘΡΥΠΤΟΝ
ἐπειδὴ προειρήκει,* εἶδεν δὲ τὴν εἰς ῥύπον ἀπόπτωσιν,
ἐπήγαγε ΚΑΘΑΡΕΙΟΝ, ἀεὶ τοῦ πτώμα-
τος ἀνέχων τῇ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ἀντιθέ-
σει, ἵν' ἐξ ἀμφοτέρων ἀνδρώδης ἡ ΔΙΑΙΤΑ
ᾖ, καὶ λογικῷ ζώῳ πρέπουσα. οὕτω δὴ τάξαν-
τες τὸν βίον, καὶ ἄλλο τι ἑπόμενον μέγα ἀγαθὸν
ἕξομεν. τὸν γὰρ ἐπιφυόμενον τοῖς ὑπερβάλλουσι
φθόνον διαφύγοιμεν ἄν, τῷ μηδὲν ἄγαν και-
νοῦντες καθ' ἡμᾶς αὐτῶν τοῖς συμπολιτευο-
μένοις, ὥστε νῦν μὲν νεμεσᾶν, ὡς ΤΡΥΦΩ-
ΣΙΝ ἡμῖν· νῦν δὲ μέμφεσθαι, ὡς ῥυπῶσι· καὶ
ὁτὲ μὲν, ὡς ἀσώτοις ἐγκαλεῖν, ὁτὲ δέ, ὡς μικρο-
λόγοις. πᾶσι γὰρ τοῖς τοιούτοις ἕπεται παρὰ

qui vnico eius angulo capi possunt? Quid sordida, quę habitationis vsum nõ prębeat? Id ipsum verò in ceteris etiam vtrinque inutile reperias, quod SORDES cum LVXV non vitat. Simul enim MODVS in vsu præteritus est, & ad cupiditatum immensitatem delatus. Quò fit, vt omnia in vita eiusmodi MEDIIS tibi metienda sint, quæ vitia declinent adiacentia. ASSVESCE AVTEM VICTVI MVNDO, inquit. Postea verò, cùm procliuitatem ad DELICIAS animaduerteret; qui LVXV CAREAT adiecit. Quòd si LVXV CARENTEM priùs dixisset; quia videbat etiam ad SORDES deueniri facilè; MVNDVM quoque addidisset, alterius oppositione, procliuitatem alterius perpetuò retinens, vt ex ambobus præstans VICTVS RATIO, & homine digna constaret. Ita ergo si vitam nostram instituamus, & aliud quoddam ingens bonum ipsi consequemur. INVIDIAM enim, quæ summis rebus adnascitur, hac ratione vitabimus, si NE QVID NIMIS intuentes eos, quibuscum degimus, ita aduersum nos non excitemus; vt nunc quidem nobis indignentur; tanquam LVXV diffluamus: nunc verò arguant; tanquam sordes amplectamur: Reprehendant etiam aliquando, tanquam nequiter profusos: & aliquando etiam, tãquam in minima inquirẽtes. Tales enim omnes excessus nomine ab

iis, quibuſcum degunt, argui certum eſt. Nam hoc ipſum eſt, quod nunc INVIDIAE vocabulo ſignificat: tanquam EA FACERE prohibeat, QVAE INVIDIAM SVSTINEANT; id eſt, quę iuſtam habeant, vulgò reprehenſionem. Sunt verò non immeritò ex vulgi etiam ſententia vituperatione digna LVXVS & SORDES in VICTV: in pecuniarum autem vſu profuſio, atque tenacitas. Oſtendant igitur in rebus externis omnibus prudentem animi habitum, ET MODVM IN OMNIBVS OPTIMVM liberalitas, atque mediocritas. Decet enim, quantùm poteſt, ab iis, quę INVIDIAM pariunt, eum abſtinere, qui tranquillitatis amator eſt: nec illam, tanquam feram, prouocare: quò in iis liceat, quæ honeſta ſunt, nulla perturbatione promouere. Vitam autem ſine INVIDIA degemus; ſi tenuem, & ſordibus carentem amplectamur; ſique faſtum illum reprimamus, qui ex decori ignoratione proficiſcitur; vnde mala duo naſcuntur, rerum profuſio ſcilicet; atque parcimonia intempeſtiua: quorum alterum diſſoluti quidem animi eſt; alterum verò anguſti atque parui. Sed vtrumque declinat liberalitas, quæ in dandis, accipiendiſque pecuniis occupata, eo quod decet in facultatibus atque impenſis reperto, externa omnia rectæ rationi ſubiecit, atque copulauit.

τῶν συζώντων ἡ ἐπὶ τῇ ΑΜΕΤΡΙΑ μέμψις. τοῦτο γὰρ νῦν ὁ ΦΘΟΝΟΣ δῆλον, ἵν' ᾖ τὸ λεγόμενον· πεφύλαξο τοιαῦτα ποιεῖν, ὁπόσα ΦΘΟΝΟΝ ΙΣΧΕΙ, ἤγουν μέμψιν εὔλογον ἔχει παρὰ τῶν πολλῶν, μεμπτὰ δὲ κατὰ τὸν λόγον, καὶ τοῖς πολλοῖς ἐν μὲν τῇ ΔΙΑΙΤΗ ΤΡΥΦΗ, καὶ ῥύπος, ἐν δὲ τῇ δαπάνῃ χρημάτων, ἀσωτία, καὶ μικρολογία. διὸ ἐλευθερειότης καὶ ΣΥΜΜΕΤΡΙΑ δείκνυται διὰ τῶν ἐκτὸς πάντων τὴν ἔμφρονα τῆς ψυχῆς κλῖσιν, καὶ τὸ καθ' ἕξιν ΜΕΤΡΟΝ τὸ ΕΠΙ ΠΑΣΙΝ ΑΡΙΣΤΟΝ. Δεῖ γὰρ, ὅσον ἐφ' ἡμῖν, τῶν ΕΠΙΦΘΟΝΩΝ ἀπέχεσθαι τὸν ἡσυχίας ἐρῶντα, καὶ μὴ ἐρεθίζειν, ὥσπερ τι θηρίον, τὸν ΦΘΟΝΟΝ, ἵν' ἀθορύβως ἐξῇ προκόπτειν τοῖς καλοῖς. ΑΝΕΠΙΦΘΟΝΟΝ δὲ ζωὴν ἐπιτηδεύσωμεν, ΛΙΤΗΝ ΚΑΙ ΑΡΥΠΟΝ ΔΙΑΙΤΑΝ ΕΧΟΝΤΕΣ, καὶ τὸν τῆς ἀπειροκαλίας τύφον ἐκκλίνοντες, ἐξ οὗ ἀποβλαστάνει δύο κακὰ, δαπάνη τε, καὶ φειδὼ χρημάτων ἄκαιρος· ὧν τὸ μὲν εἰς ὑπερηφανίαν διαβάλλεται· τὸ δὲ εἰς μικροπρέπειαν. ἑκάτερον δὲ τούτων ἡ ἐλευθερειότης ἐκφεύγει, ἀρετὴ περὶ χρημάτων δόσιν καὶ λῆψιν ὑπάρχουσα, καὶ τὸ δέον ἐν προσόδοις, καὶ δαπάναις εὑρίσκουσα, καὶ πρὸς τὸν ὀρθὸν λόγον πάντα τὰ ἐκτὸς συνάπτουσα.

τοσαῦτα καὶ περὶ τῆς τοῦ σώματος, καὶ περὶ τῆς τοῦ ἐκτὸς ἀρίστης χρήσεως πεφιλοσόφηται ἐν τοῖς ἔπεσιν, ὅπως ἂν διὰ τούτων τὸ τῆς ἀρετῆς διαφαίνηται κάλλος. κεφάλαιον δὲ τῶν πάντων ποιεῖται τὸ ἑξῆς παράγγελμα.

39 ΠΡΑΣΣΕ ΔΕ ΤΑΥΘ' Α ΣΕ ΜΗ ΒΛΑΨΗ. ΛΟΓΙΣΑΙ ΔΕ ΠΡΟ ΕΡΓΟΥ.

Πολλάκις ἐχρήσατο τῷ τοιούτῳ λόγῳ, ὅτε μὲν εἰπών,

Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσει.

ὅτε δέ,

—Μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσει. καί,

Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
Πρῆξαι, μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.

τούτων οὖν ἁπάντων σύνοψιν ποιεῖται ἐνταῦθα, καὶ μίαν συγκεφαλαίωσιν ὁ λόγος, ἀπαγορεύων μὲν τῶν βλαβερῶν τὴν προσδοκίαν· τῶν δὲ ἐπωφελῶν εἰσηγούμενος τὴν ἐνέργειαν· γίνεσθαι δὲ καλῶς τὴν τούτων διάκρισιν ἐν τῷ ΛΟΓΙΖΕΣΘΑΙ ΠΡΟ ΕΡΓΟΥ τί πρακτέον, καὶ τί μὴ πρακτέον. ὁ γὰρ τῆς εὐβουλίας καιρὸς ἐν τῷ ἀπροκλήτῳ τῶν ΠΡΑΞΕΩΝ παραγίνεται, κἀνταῦθα δὲ πάλιν τοῦ,

Atque hæc quidem sunt, quæ de corporis, externarúmque rerum vsu optimo in versibus philosophatus est; vt virtutis pulchritudo per ea nota sit. Omnia deinceps præceptum quod sequitur, vno capite complectitur.

39 EA PORRO FACITO, QVAE TIBI NON NOCEANT: ET CONSIDERA, PRIVSQVAM FACIAS.

Fac quæ non lædãt: consulto résq; geratur.

Eiusmodi verbis sæpe vsus est. eo quidem loco, vbi dixit;

Effice quin potiùs, nequeant quę facta dolere. Et alibi;

Ipse modũ dico, qui te non læserit ipsum. Et alibi etiam;

Nil tibi vel verbo quisquam malè suaserit, aut re,

Vt facias, dicásue; nocens quo tu tibi fias.

Ea igitur hoc loco in vnum collecta ante oculos ponit, suadens ab his abstinere, quæ damnosa sunt; facere autem quę vtilia: quorũ eo tẽpore recta distinctio futura sit, quo ANTE OPVS quid FACIENDVM sit, vel non FACIENDVM, AGITABITVR. Est enim tum cõsilij tempus idoneũ, cùm res sunt adhuc integræ. Cæterùm & hîc quod dixit, QVAE TE NON LAEDANT; eadem ratione explicabimus, atque illud,

Tibi quę nil facta dolebunt: T E illud; de vero homine, atque rationis participe natura, intelligentes; déque eo, qui sapientiæ studium amplexus sit; & qui Deo fieri similis contendat. Quem nihil fugiat, quod sit præter rectam rationem, quod præter legem diuinam; quod Deo similes fieri prohibeat. Solent verò quæ sunt eiusmodi, nobis augeri eorum familiaritate; quibuscum viuimus. corporis præterea moderatione, cum quo sumus copulati; & facultatibus etiam ipsis, quæ auxilij caussa repertæ, ideò χρήματα nuncupari solitæ sunt, quòd corporis vsui subseruiant. Significat ergo huic esse diligenter cauendum, qui diuinorum bonorum cupiditate ducitur, ne eò adducatur, vt quicquam ipse faciat, quod in suam vtilitatem non cedat: nec corpori indulgeat aliquid, ex quo postea dolorem percipiat: nihil denique amplectatur, quod à sapientiæ studio animum auocet; cuiusque ipsum paulò pòst pœniteat. Decet enim hęc omnia pręmissa ratiocinatione nos propellere, vt eorum, quę fecimus, commemoratio iucundissimam illam nobis pariat recordationem; ad quam deinceps adhortatur.

40 NEC SOMNVM MOLLIBVS OCVLIS PRIVS ADMITTAS,

ΑΣΕ ΜΗ ΜΕΤΕΠΕΙΤ' ΑΝΙΗΣΕΙ, τὰ ΣΕ κατὰ τοῦ ὄντος ἀνθρώπου, καὶ τῆς λογικῆς οὐσίας τείνοντες, καὶ κατὰ τὸ φιλοσοφεῖν προῃρημένου, καὶ τὴν πρὸς θεὸν ὁμοίωσιν κλήσεως σπεύδοντος. τοῦτον δὲ βλέπειν πᾶν τὸ παρὰ τὸν ὀρθὸν λόγον· πᾶν τὸ παρὰ τὸν θεῖον νόμον· πᾶν τὸ πρὸς τὴν θείαν ὁμοίωσιν ἐμποδίζον. πέφυκε δὲ τὰ τοιαῦτα ἡμῖν ἐπιτείνεσθαι ἐν τῇ κοινωνίᾳ τῶν συζώντων, καὶ τῇ διοικήσει τοῦ τε συνεζευγμένου σώματος, καὶ τῶν πρὸς βοήθειαν ἐξευρημένων χρημάτων· ἃ δὴ χρήματα καλεῖν ἔθος, ὡς πρὸς τὴν τούτου χρείαν ἐκκείμενα. διευλαβεῖσθαι δεῖ χρῆσθαί φησιν ὁ λόγος τὸν ἐρωτικὸν τῶν θείων ἀγαθῶν, μήποτε ἀναπεισθῇ πρᾶξαί τι, ὃ μὴ βέλτιον αὐτῷ. καὶ ὅπως μὴ χαρίσηται τῷ σώματι, ἐξ ὧν αὐτὸς ἀνιάσεται, μηδὲ προσδέξηταί τι βλάπτον τὴν φιλόσοφον ὁρμήν, ἐφ' ᾧ μικρὸν ὕστερον μεταμελήσεται. ταῦτα γὰρ πάντα τῷ προλογισμῷ διωθεῖσθαι ἡμᾶς προσήκει, ἵν' ὁ ἐπιλογισμὸς τῶν εἰργασμένων ἡμῖν ἡδίστην ἔχῃ τὴν ἀνάμνησιν, ἣν ἑξῆς ποιεῖσθαι παρακελεύεται. γρ. σιῶ

40 ΜΗΔ' ΥΠΝΟΝ ΜΑΛΑΚΟΙΣΙΝ ΕΠ' ΟΜΜΑΣΙ ΠΡΟΣΔΕΞΑΣΘΑΙ,

[41] ΠΡΙΝ ΤΩΝ ΗΜΕΡΙΝΩΝ ΕΡΓΩΝ ΤΡΙΣ ΕΚΑΣΤΟΝ ΕΠΕΛΘΕΙΝ. [42] ΠΗ ΠΑΡΕΒΗΝ; ΤΙ Δ' ΕΡΕΞΑ; ΤΙ ΜΟΙ ΔΕΟΝ ΟΥΚ ΕΤΕΛΕΣΘΗ; [43] ΑΡΞΑΜΕΝΟΣ Δ' ΑΠΟ ΠΡΩΤΟΥ ΕΠΕΞΙΘΙ· ΚΑΙ ΜΕΤΕΠΕΙΤΑ [44] ΔΕΙΝΑ ΜΕΝ ΕΚΠΡΗΞΑΣ ΕΠΙΠΛΗΣΣΕΟ· ΧΡΗΣΤΑ ΔΕ, ΤΕΡΠΟΥ.

Ἐνταῦθα γενόμενος τοῦ λόγου, τῶν ὅλων παραγγελμάτων ἄθροισόν μοι τὴν γνώμην, ἵνα τῷ ἴσω (γρ' ἔσω) τῆς ψυχῆς δικαστηρίῳ, πρὸς ταῦτα, ὡς πρὸς θείους νόμους, ἀποβλέπων, ποιῇ τῶν εὖ, ἢ κακῶς πεπραγμένων τὴν ἐπίκρισιν. πόθεν γὰρ ὁ ἐπιλογισμὸς ἕξει δεινὰ μὲν εἰργασμένους ἡμᾶς ἐπισκώπτειν, χρηστὰ δὲ πράξαντας ἐπαινεῖν, εἰ μὴ ὁ προλογισμὸς νόμους τινὰς λάβοι, καθ' οὓς προσήκει τὴν ζωὴν τάττειν, καὶ πρὸς τούτοις τὸ τῆς συνειδήσεως ταμιεῖον, ὡς πρὸς ἕνα σκοπὸν ἀπευθύνειν τὸν ὅλον ἡμῶν βίον; ὁσημέραι δὲ ποιεῖσθαι τὴν τοιαύτην κρίσιν εἰσηγεῖται, ἵνα τῷ συνεχεῖ τῆς μνήμης τὸ τῆς κρίσεως

41 QVAM DIVRNA OPERA SINGVLA TER RECENSVERIS. 42 QVA SVM TRANSGRESSVS? QVID FECI? QVID NON FECI, QVOD IPSE DEBVI? 43 INCIPIENS AVTEM A PRIMO, ILLA PERCVRRE: ET TVRBARE 44 POSTEA MALIS ADMISSIS: LAETARE AVTEM BONIS.

Mollia nec prius admittant tua lumina somnum,
Exactæ quàm ter reputaris cuncta diei:
Quæ prætergressus? quæ gessi? quæ malè omisi?
Singula percurrẽs à primo facta, quibus tu
Vel prauis doleas, capias vel gaudia iustu.

Hoc loco mentem omnium, quę superiùs præcepta sunt, mihi colligito; vt in ea, tanquam in diuinas leges, intuens, interiore animi iudicio, eorum, quę bene, vel malè gesta sunt, examẽ facias. Vnde enim malis admissis, mordere nos queat commemoratio: vel laudare patratis bonis: nisi meditatio, quæ pręcessit, leges quasdam admittat, ex quarũ instituto vitam deceat cõponere, & ad eas cõscientiæ abdita, tanquã ad scopum aliquem, toto vitæ nostræ spatio dirigere? Ideò autem singulis diebus examẽ istud fieri postulat; vt assidua recordatione iudicij

certitudo seruetur incolumis. Ideò etiam vesperi, SOMNIQVE appetente tempore; vt DIVRNARVM actionum extremũ, conscientiæ tribunal constituamus, Deóque ipsi affectionum examen in canticum edamus, quod lectum perentibus eidem par est recitari: QVO VENTVM MIHI? QVID GESSI? QVAE DEBITA TEMPSI? Ita enim vitam nostram regulis, quę superiùs traditæ sunt, metiemur, si ad legislatricem mentem iudicem rationem adiungamus. Quid igitur iubet legislatrix? Eos honorate, qui naturæ sunt pręstantioris, pro cuiusque ordine. Parentum, cognatorum, permagnam habere rationem. Probos viros amplecti, atque amare. Corporeis viribus superiorem se præbere. Sui ipsius vbique pudore affici. Iustitiam colere. Diuitiarum, vitæque quotidianæ procliuem amissionem pręnosse. Sortem amplecti, quę diuino iudicio cecidit: lętari autem spiritibus Deo conuenientibus; & ad id, quod pręstantius est, mentem conuertere. Sermonis studium colere, qui verè sermo sit, non patêre fraudibus; non fracto esse animo in virtute seruanda. Nihil nisi consulto agere; vt foris non sequatur pœnitentia. Temerarias opiniones purgare. Vitæ persequi rationem, quæ scientia regatur. Corpus ipsum, & quę externa sunt,

ἀπλανὲς διασώσηται. πρὸς ἑσπέραν δὲ, καὶ εἰς ΥΠΝΟΝ τρεπόμενον, ὅπως ἂν πέρας τῶν μεθημερινῶν πράξεων τὸ τῆς συνειδήσεως καθεζόμενον δικαστήριον, ἐπικοίτιον ᾆσμα θεῷ τὴν τῶν διαθέσεων ἀνάκρισιν ποιούμενοι, ΠΗ ΠΑΡΕΒΗΝ; ΤΙ Δ' ΕΡΕΞΑ; ΤΙ ΜΟΙ ΔΕΟΝ ΟΥΚ ΕΤΕΛΕΣΘΗ; οὕτω γὰρ παραμετρήσομεν τὴν ἑαυτῶν ζωὴν τοῖς παραδιδομένοις κανόσι, τῷ νομοθέτῃ νῷ τὸν κριτὴν λόγον ἐπισυνάπτοντες. τί οὖν ὁ νομοθέτης λέγει; τιμᾶν τοὺς φύσει κρείττονας, κατὰ τὴν οὐσιώδη αὐτῶν τάξιν. γονέων, καὶ συγγενῶν πλεῖστον ποιεῖσθαι λόγον. τοὺς ἀγαθοὺς ἄνδρας ἀσπάζεσθαι, καὶ φιλεῖν. τῶν σωματικῶν δυνάμεων ὑπερέχειν. ἑαυτὸν αἰδεῖσθαι πανταχοῦ. δικαιοσύνης ἐπιμελεῖσθαι. χρημάτων, καὶ τῆς ἐφημέρου ζωῆς περιεγνωκέναι τὸ εὔφθαρτον. τὸν ἀπὸ τῆς θείας κρίσεως ἀπονεμηθέντα κλῆρον ἀσπάζεσθαι· θεοπρεπεῖ δὲ χαίρεσθαι φρονήματι, καὶ πρὸς τὸ βέλτιον μεθιστάναι τὴν γνώμην. φιλολογίαν ἀσκεῖν τῶν ὄντως λόγων. ἀνεξαπάτητον εἶναι, καὶ ἀδούλωτον πρὸς τὴν τῆς ἀρετῆς τήρησιν. εὐβουλίᾳ πρὸ τῶν ἔργων χρῆσθαι, ἐξ ἧς τὸ ἀμεταμέλητον ἐν τοῖς ἔξω παραγίνεται. οἰήσεως καθαρεύειν. τὸν ἐπιστημονικὸν μεταδιώκειν βίον. τὸ σῶμα, καὶ τὰ ἐκτὸς

γρ. τρεπομένοις, ἢ τρεπομένους.

πρὸς τὴν τῆς ἀρετῆς ἐνέργειαν μεταρρυθμίζειν. ταῦτα ὁ νομοθέτης νοῦς διαθεσμοθετεῖ ταῖς ψυχαῖς. ὁ δὲ ὑποδεξάμενος αὐτὰ λογισμός, δικαστὴς ἄγρυπνος ἑαυτοῦ γίνεται. ΠΗ ΠΑΡΕΒΗΝ; ΤΙ Δ' ΕΡΕΞΑ; καὶ ἐν τάξει τὴν μνήμην ἀναλαμβάνων ἀρετῆς εἵνεκα. εἶτα εὑρὼν ἑαυτὸν συμφώνως τοῖς προκειμένοις ὅροις διημερεύσαντα, τῆς θείας εὐφροσύνης τοῖς καρποῖς ἀναδεῖ. παρὰ μέρος δέ τι παρέξαντα φωράσας, ὥσπερ τισὶ φαρμάκοις ταῖς ἐκ τῆς μετανοίας νουθετήσεσιν ἐπισύφει. Διὸ τὸν ΥΠΝΟΝ ἀποκρούσασθαι δεῖν φησὶ τῇ προθυμίᾳ τοῦ λογισμοῦ. ἀνέξεται γὰρ τὸ σῶμα μὴ κατασυρόμενον ὑπὸ τῆς τοῦ δαρθάνειν ἀνάγκης διὰ τὴν σώφρονα δίαιταν, δι' ἣν καὶ τὰ ἀναγκαῖα πάθη τῇ τοῦ λογισμοῦ ἡγεμονίᾳ συντάττεται. μὴ ΠΡΟΣΔΕΞΑΣΘΑΙ γάρ φησι ΤΟΝ ΥΠΝΟΝ, ΠΡΙΝ ΤΩΝ ΗΜΕΡΙΝΩΝ ΕΡΓΩΝ ΛΟΓΙΣΑΣΘΑΙ ΕΚΑΣΤΟΝ. καὶ τίς ὁ ΛΟΓΙΣΜΟΣ; ΠΗ ΠΑΡΕΒΗΝ· ΤΙ Δ' ΕΡΕΞΑ· ΤΙ ΜΗ ΔΕΟΝ ΟΥΚ ΕΤΕΛΕΣΘΗ; διχῶς γὰρ ἁμαρτάνομεν· ἢ τὸ μὴ δέον ποιήσαντες, ὃ διὰ τοῦ ΠΑΡΕΒΗΝ δηλοῦται· ἢ τὸ ΜΗ ΔΕΟΝ ΠΟΙΗΣΑΝΤΕΣ, ὡς ἐπ' αὐτῆς κεῖται λέξεως. δύο γὰρ ἀργία τοῦ καλοῦ·

ad virtutis actiones idonea reddere. Leges ista sunt, quæ à mente in animis hominum sanciuntur: quæ cùm ratio admisit, iudex ipsa sui vigilantissimus efficitur; eáque ordine virtutis nomine memoria repetens, QVA SIT PRAETERGRESSA, QVIDQVE FECERIT, disquirit. Postea, si seipsam agnoscat iuxta superiores regulas diem exegisse, diuinæ lætitiæ corona donat. Sin autem præter rationem factum deprehendat aliquid; monitis se post pœnitudinem, tanquam pharmacis, reprimit. Quò fit vt rationis alacritate SOMNVM repelli oportere significet. Id autem facillimè corpus esse toleraturum, si dormiendi necessitate non vrgeatur per victus temperantiam; per quam & ipsi etiam necessarij affectus imperio rationis subijciuntur. NON enim, inquit, SOMNVM EXCIPIAS, PRIVSQVAM DIVRNA OPERA SINGVLA examinaris. Verùm quod fuerit examen. QVA SVM TRANSGRESSVS. QVID FECI. QVID FACERE DECVIT, QVOD NON IPSE FECERIM. Peccamus enim duplici ratione: vel cùm FACIMVS QVOD NON DECET; quod TRANSGRESSIONIS verbo significatur: vel CVM NON FACIMVS QVOD DECET: sicuti verbis exprimitur.

Aliud enim est ab eo cessare quod honestū est; & aliud, id facere, quod turpe. Ibi qui dem prętereūdo; hîc autē admittēdo peccatur. Verbi gratia; decet bene precari; nō autem cōuitiis afficere. Decet item parentes alere, non arcere contumeliis. Pręstat igitur QVAE DECET, qui facit quę priora sunt: facit autē QVAE NON DECET, qui altera: licet vtraque ratione quadā, ad idem peccādi genus referātur. Hortatur autē, vt operū nostrorū examen à principio, nullis eorū, quæ media sunt, pretermissis, ordine faciamus; quod PERCVRRENDI verbo significauit. Fallit enim iudiciū sępissimè ordinis perturbatio; & efficit, vt quod malè patratū est, memoriæ cōfusionē libēter excuset. Affert præterea DIVRNAE vitæ recordatio ea, quę gessimus antè, cōmemorandi solicitudinē, nostræque sensum immortalitatis. Est deinde admiratione dignū, quòd, cùm expendenda singula pręcipiat; quid rectè, quid contra, quę decüit, gestum sit, perpendendum non monuit: sed ad id, quod tumoris minus haberet, memoriam traduxit; vt eorum, quæ peccata sunt, iudicium faceret. Iudicem pręterea adhibuit æquissimum simul, atque commodissimum; conscientiam nimirum, rectámque rationem, atque etiam seipsum; cuius omnium maximè pudere superiùs quemque voluit. Quis enim ita alium alius, atque se quisque commonefacere valeat?

καὶ ἄλλο ἐνέργεια τοῦ αἰσχροῦ. καὶ τὸ μὲν τῇ παραλείψει κακίζεται. τὸ δὲ τῇ παραδοχῇ. οἷον, εὔχεσθαι δεῖ, καὶ βλασφημεῖν οὐ δεῖ. τρέφειν γονέας δεῖ, προπηλακίζειν δὲ οὐ δεῖ. ὁ οὖν τὰ πρότερα ποιῶν, τὰ ΔΕΟΝΤΑ ποιεῖ. ὁ δὲ τὰ δεύτερα ποιῶν, ΤΑ ΜΗ ΔΕΟΝΤΑ ποιεῖ. εἰ καὶ ἀμφότερα τρόπον τινὰ πρὸς τὴν ἴσην παρανομίαν ἔρχεται. τὴν δὲ ἀναμέτρησιν τῶν ἡμετέρων ἔργων παραινεῖ ποιεῖσθαι ἀπὸ πρώτου, ἕως τελευταίου ἐν τάξει, μηδὲν παραλείποντα τῶν μέσων· ὃ δηλοῖ τὸ ΕΠΕΞΙΘΙ νοεῖται. πολλάκις γὰρ ἡ μετάθεσις παραλογίζεται τὴν κρίσιν, καὶ εὐαπολόγητον ποιεῖ τὸ κακῶς εἰργασμένον τῇ ἀταξίᾳ τῆς μνήμης· καὶ ἄλλως δὲ ἡ τῆς ΚΑΘΗΜΕΡΙΝΗΣ ζωῆς ἀνάμνησις μελέτη γίνεται τῆς τῶν προβεβιωμένων ἀναπολήσεως, καὶ τῆς ἀθανασίας ἡμῶν συναίσθησις. καὶ τὸ θαυμαστὸν, λογίσασθαι ΕΚΑΣΤΟΝ εἰπὼν ἐπήγαγε, τί κατώρθωσα; τί μοι τῶν δεόντων πέπρακται; ἀλλὰ εἰς τὸ ἀτυφότερον τὴν μνήμην μεθήρμοσε, τῶν ἡμαρτημένων τὴν κρίσιν ποιούμενος. καὶ δικαστὴν ἐπέστησε τὸν δικαιότατον ἅμα, καὶ οἰκειότατον, τὸ συνειδὸς αὐτὸ, καὶ τὸν ὀρθὸν λόγον. καὶ αὐτὸν ἑαυτῷ, ὃν πάντων μάλιστα αἰδεῖσθαι προεπαιδεύθημεν. τίς γὰρ δύναται νουθετῆσαι ἄλλος ἄλλον, ὡς αὐτὸς ἑαυτόν;

τὸ γὰρ αὐτεξούσιον τῇ ἐλευθερίᾳ τῆς φύσεως ἀποχρώμενον ἀποσείεται τὰς παρὰ τῶν ἄλλων συμβουλάς, ὅταν μὴ ἐθέλῃ πείθεσθαι. ὁ δὲ οἴκοθεν λογισμὸς αὐτὸς ἑαυτοῦ κατακούειν ἀνάγκην ἔχει. τοῦτον ἐπίτροπον ἡμῖν ὁ θεὸς ἐπέστησε. τοῦτον παιδαγωγὸν καὶ διδάσκαλον. τοῦτον καὶ νῦν δικαστὴν ὁ λόγος τῶν ΗΜΕΡΙΝΩΝ ΕΡΓΩΝ ποιεῖται, καὶ παρ' αὐτοῦ τὴν κρίσιν ἐκδέχεσθαι, ἵν' αὐτὸς ἑαυτοῦ ψηφίσῃ τὸ ἀποδοχῆς, ἢ ἐπιπλήξεως ἄξιον. ὅταν γάρ, ὡς ἐν γραμματείῳ, τῇ μνήμῃ ἀναγνῷ τὰ πεπραγμένα, τότε πρὸς τὸ παράδειγμα βλέπων τὸν νόμον, ψηφίζεται τιμῆς, ἢ ἀτιμίας ἑαυτὸν ἄξιον. ἡ δὲ τοιαύτη καθ' ἡμέραν παρακολούθησις θεοειδὲς ἄγαλμα τῶν χρωμένων ἀποτελεῖ, προσθήκαις, καὶ ἀφαιρέσεσι πρὸς τὸ τῆς ἀρετῆς κάλλος παιδαγωγοῦσα, καί, ὡς οἷόν τε, ἄνθρωπον ἀγαθὸν ἀποτελοῦσα. εἰς τοῦτο γὰρ καὶ κατέληξεν ὁ λόγος μέλλων μεταβαίνειν ἐπὶ τὰ θεοποιὰ παραγγέλματα.

45 ΤΑΥΤΑ ΠΟΝΕΙ. ΤΑΥΤ' ΕΚΜΕΛΕΤΑ. ΤΟΥΤΩΝ ΧΡΗ ΕΡΑΝ ΣΕ. 46 ΤΑΥΤΑ ΣΕ ΤΗΣ ΘΕΙΑΣ ΑΡΕΤΗΣ ΕΙΣ ΙΧΝΙΑ ΘΗΣΕΙ.

Quod enim sui iuris est, si naturæ libertate vtatur, aliorum consilia facilè respuit; cùm illis parere non statuit. At non potest non audire se necessariò quæ intus est ratiocinandi vis. Istam Deus esse voluit, quę nostri curam gereret. Istam ducem, atque magistram. Istam etiam nunc iudicem DIVINORVM OPERVM ratio efficit; & factum ab ipso iudicium amplectitur; vt suum ipsa calculum adijciat, quídnam in se vel laude, vel reprehensione dignum iudicet. Cùm enim in memoria, tãquam in tabella, quæ fecit descripta legit; tum legem in exẽplari intuens, seipsam vel honore, vel infamia dignã pronuntiat. Efficit verò studium istud, si singulis diebus excolatur, diuinam in iis imaginem, qui illud amplectuntur; dum eos vel additionibus, vel subtractionibus, ad virtutis decus perducit; &, quantùm fas est, probum hominem perficit. In hoc enim versus ipsi desinunt; vt ad ea pręcepta, quæ diuinitatem pariunt, oratio transferatur.

45 IN HIS ELABORA. HAEC MEDITARE. HAEC TE AMARE OPORTET. 46 HAEC TE DVCENT IN DIVINAE VIRTVTIS VIAM.

Hæc facito. hæc satage. Istorum tibi cura geratur.

Hæc te virtutis diuinæ ad limina sistent.

47 VTIQVE, PER EVM, QVI ANIMO NOSTRO QVATERNARIVM TRADIDIT, 48 FONTEM PERENNIS NATVRAE.

Iuro te, qui nos docuisti tetrada, fontem Naturæ æternum. ——

Idem hic, quod nobis in pręfatione, dicitur, philosophiã, quę versatur in agẽdo, virtutum vi hominem probũ efficere: quę autem in contẽplando, illustratione mẽtis, atque veritatis, Deo similem reddere. præire deinde necessariò (quod ad nos attinet) minora maioribus. Est enim facilius humanã vitam ad vsum aliquẽ moderatũ reuocare; quã eandẽ omnino dimittere: quod integra ad contẽplationem cõuersione effici possit. Fieri deinde aliàs nõ queat, vt veritas securè possideatur, si quę sunt rationis expertes potentiæ morũ virtutibus ex mentis instituto nobis non subijciátur. Cùm enim medius sit hominis animus inter mentẽ, & rationis priuationem: tunc solùm mẽti, quæ ipsum pręcedit, nullo auellente, potest adhærere; cùm eorũ contagione liberatus, quæ ipso posteriora sunt, eadem purè attigerit. Erit autem purus tumdemum, cùm nihil auersæ rationi, nihil etiam mortali corpori indulgens, agi se cum eo minimè patietur: sed tãquam alius aliorum curam geret, tantum ipsis curæ tribuẽs, quantum diuina lex pręcipit, quæ vi ipsum expelli non permittit; sed

47 ΝΑΙ ΜΑ ΤΟΝ ΗΜΕΤΕΡΑ ΨΥΧΑ ΠΑΡΑΔΟΝΤΑ ΤΕΤΡΑΚΤΥΝ 48 ΠΑΓΑΝ ΑΕΝΑΟΥ ΦΥΣΕΩΣ.

Ταυτὸν, ὃ καὶ ἐν προοιμίοις ἐλέγομεν, ὅτι ἡ μὲν πρακτικὴ φιλοσοφία διὰ τῆς τῶν ἀρετῶν φύσεως ἄνθρωπον ἀγαθὸν ἀποτελεῖται· ἡ δὲ θεωρητικὴ εἰς ὁμοιότητα θεοῦ καθίστησι, τοῦ καὶ ἀληθείας ἐλλάμψει. προηγεῖσθαι δὲ, ὡς πρὸς ἡμᾶς, τὰ ἐλάττονα τῶν μειζόνων ἐξ ἀνάγκης. ῥᾷον γὰρ ἐπιμετρῆσαι τὸν ἀνθρώπινον βίον τῇ εὐλογίστῳ χρήσει, τοῦ παντελῶς αὐτὸν μεθεῖναι. ὃ γίνοιτ' ἂν, διὰ τῆς πρὸς θεωρίαν παντελοῦς ἐπιστροφῆς. καὶ ἄλλως δὲ ἀδύνατον ἀθορύβως κτήσασθαι τὴν ἀλήθειαν, μὴ τῶν ἀλόγων δυνάμεων ἡμῖν ταῖς ἠθικαῖς ἀρεταῖς κατὰ νοῦν τεταγμένων. μέση γὰρ οὖσα ἡ λογικὴ ψυχὴ νοῦ καὶ ἀλογίας, τότε μόνον ἀπερισπάστως δύναται συνεῖναι τῷ περὶ αὐτῆς νῷ, ὅταν καθαρὰ γινομένη τῆς τῶν μεθ' αὐτὴν προσπαθείας, καθαρῶς ἐφάπτηται ἐκείνου. ἔσται δὲ καθαρὰ, εἰ μηδὲν τῇ ἀλογίᾳ, μηδὲ τῷ θνητῷ σώματι συνεκφέροιτο, ὡς ἄλλη δ' ἄλλων ἐπιμελοῖτο, τοσοῦτον αὐτοῖς ἀπονέμουσα φροντίδος, ὅσον ὁ θεῖος κελεύει νόμος, ἐξάγειν αὐτὴν πειρᾶσθαι μὴ συγχω-

γρ. μέση

γρ. αὐτὴν

ρῶν, ἀλλὰ περιμένειν, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. διττῆς οὖν ἀρετῆς τῇ τοιαύτῃ ψυχῇ δεήσει, πολιτικῆς μὲν πρὸς τὰ κάτω τὴν ἀταξίαν ταττούσης· θεωρητικῆς δὲ πρὸς τὰ ἄνω τὴν τῶν κρειττόνων συνουσίαν προξενούσης. τῶν δὲ διπλῶν τούτων ἀρετῶν μέθοδον ἔγκειται οἱ τοιοῦτοι στίχοι. τὸ μὲν, ΤΑΥΤΑ ΠΟΝΕΙ· ΤΑΥΤ' ΕΚΜΕΛΕΤΑ· ΤΟΥΤΩΝ ΧΡΗ ΕΡΑΝ ΣΕ, ὡς οἰκεῖον συμπέρασμα τῆς πολιτικῆς ἀρετῆς. τὸ δὲ, ΤΑΥΤΑ ΣΕ ΤΗΣ ΘΕΙΑΣ ΑΡΕΤΗΣ ΕΙΣ ΙΧΝΙΑ ΘΗΣΕΙ, ὡς ἀρχὴ καλλίστη τῆς θεωρητικῆς ἐπιστήμης. τὸν γὰρ ἀπαλλαγέντα τῆς θηριώδους ζωῆς, καὶ τῆς ἀμετρίας τῶν παθῶν, ὅση δύναμις, καθαρεύσαντα, καὶ διὰ τοῦτο δὴ ἐκ θηρίου γενόμενον ἄνθρωπον, τὸ ἑξῆς ἀπαγγέλλεται, ΘΕΟΝ ἐξ ἀνθρώπου ποιήσειν, ἐφ' ὅσον οἷόν τε ἀνθρώπῳ ΘΕΟΝ γενέσθαι. ὅτι δὲ τοῦτο τῆς θεωρητικῆς ἀληθείας τὸ τέλος, δι' αὐτῶν δηλοῦται τῶν ἐπῶν, ἐν οἷς πρὸς τῷ τέλει τὸ κάλλιστον, καὶ ἀκρότατον συμπέρασμα ἐπάγει·

Ἢν δ' ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

ſed tamdiu permanere, donec nos Deus ipſe dimittat. Duplici ergo eiuſmodi animo virtute opus erit: politica quidem, quæ regat inſaniam in res inferiores: contemplatiua autem quæ præſtantiorum coitionem cum ſuperioribus conciliet. Exiſtunt verò duarum virtutum iſtarum limes quidam intermedius verſus iſti: alter quidem; IN HIS ELABORA, HAEC MEDITARE. HAEC TE FACERE OPORTET: tanquam virtutis politicæ idonea concluſio: alter autem; HAEC TE DEDVCENT IN DIVINAE VIRTVTIS VIAM; tanquam contemplatiuæ ſcientiæ principium aptiſſimum. Significant enim quæ ſequuntur, eum, qui belluinam vitam depoſuerit; quíque ſe, quantum poteſt, immodicis affectibus liberarit; & ita tanquam ex fera homo factus ſit, ex homine Deum euaſurum; quantum patitur humanæ conditionis ratio. Eſſe autem hunc contemplatiuæ veritatis finem verſibus ipſis ſignificatur, quibus optimè tandem hoc modo concludens ait;

Atque vbi depoſito purus te ceperit æther
Corpore, viuus ages ſemper, ſemperque beatus.

Ostendit autem sacer ipse liber, vt paulò post demonstrabitur, rebus nos antè præclarè gestis, ipsaque adeò veritatis, quæ ex virtute sequitur, agnitione, restitutionem in pristinum statum (quod idem planè est, ac si in Deos relatum iri significes) adepturos. Sed iam ad proposita carmina regressi, consideremus nunquid LABOR & MEDITATIO, ATQVE AMOR, hoc ipso præcepto allata, velint aliud; quàm vt animus totus ad virtutis studium exercitationemque conuertatur. Est verò triplicis quodammodo facultatis & ipse secundum se consideratus. Habet enim certè aliquid, quo discimus; quod ISTA nunc iubet MEDITARI. Habet verò & aliud etiam, quo ea retinemus, quę didicimus; ꝙ IN HIS ET LABORARE ad hortatur. Habet denique & quiddam; quo ea diligimus quę nouimus, & quæ sumus adepti; quod ISTA AMARE præcipit. Vt igitur humani animi vires omnes ad virtutum præcepta nobis contendantur; ab eo, quod valet meditari, MEDITATIONEM flagitat. LABOREM verò ab eo, quod seruat, quæ sunt meditata. AMOREM denique ab eo, quod honesti studio ducitur; vt ex omnibus bonorum nobis accedat possessio cum firma retentione; cum cognato nobis etiam erga illa amore: quæ diuina spes sequitur, veritatis

τυγχάνειν δὲ τῆς ἀποκαταστάσεως ἡμᾶς (ταὐτὸν
δὲ εἰπεῖν τῆς "ἀποθέσεως) διὰ τῆς προασκη- ἴσ. ἀπο-
σεως ΑΡΕΤΗΣ, καὶ τῆς ἐπὶ ταύτῃ γνω- θεώσεως
σεως ἀληθείας, ὅσα ὁ ἱερὸς ἀναφαίνεται λό- γρ'
γος, ὡς εἰσόμεθα ὕστερον. νῦν δὲ ἐπὶ τὰ προκεί- "αὐτὸς
μενα ἔπη πάλιν ἐπανελθόντες ἐπισκεψώμεθα
εἰ τί βούλεται ὁ ΠΟΝΟΣ, καὶ ἡ ΜΕΛΕ- εἰ τί
ΤΗ, καὶ ὁ ΕΡΩΣ ἐπὶ ταῖς προλαβούσαις
ὑποθήκαις, ἢ τὸ πρὸς τὴν τῆς ἀρετῆς ἄσκη-
σιν ὅλην ἐπιστρέψαι τὴν ψυχήν. τριδύναμος
δέ πως ἐστὶ καὶ αὐτὴ, καὶ καθ' αὑτὴν λογικὴ
οὖσα, τὸ μέν τι ἔχουσα, ᾧ μανθάνομεν, ὃ ταῦτα
ΕΚΜΕΛΕΤΑΝ νῦν προστάττεται. τὸ δέ
τι ᾧ τὰ γνωσθέντα κρατοῦμεν, ὃ ΤΑΥΤΑ
ΠΟΝΕΙΝ παραγγέλλεται. τὸ δέ τι, ᾧ στέρ-
γομεν τὰ γνωσθέντα, καὶ κρατηθέντα, ὃ ΤΟΥ-
ΤΩΝ ΕΡΑΝ νουθετεῖται. ἵνα οὖν πάσας
τὰς δυνάμεις τῆς λογικῆς ψυχῆς συντεταμέ-
νας ἔχωμεν πρὸς τὰ τῶν ἀρετῶν παραγγέλμα-
τα, ἐκ μὲν τοῦ νοεῖν πεφυκότος, τὴν ΕΠΙΜΕ-
ΛΕΙΑΝ ἀπαιτεῖ. ἐκ δὲ τοῦ τηροῦντος τὰ
νοηθέντα, τὸν ΠΟΝΟΝ. ἐκ δὲ τοῦ φιλοκά-
λου, τὸν ΕΡΩΤΑ· ἵν' ἐξ ἁπάντων ἡ κτῆσις τῶν
ἀγαθῶν ἡμῖν παραγίνηται μετὰ τῆς ἀπαραβά-
του τηρήσεως, καὶ συμφυοῦς ἡμῖν πρὸς ἐκεῖνα
στοργῆς· οἷς ἕπεται ἡ θεία ἐλπὶς τὸ τῆς ἀληθείας

ἐπεισάγουσα φέγγος, ὡς αὐτὸς ὑφηγεῖται λέγων, ΤΑΥΤΑ ΣΕ ΤΗΣ ΘΕΙΑΣ ΑΡΕΤΗΣ ΕΙΣ ΙΧΝΙΑ ΘΗΣΕΙ· τουτέστι, ταῦτά σε ὁμοιώσει τῷ θεῷ διὰ τῆς τῶν ὅλων ἐπιστημονικῆς γνώσεως. τὸ γὰρ τὰς αἰτίας ἐκλογίσασθαι τῶν ὄντων, τὰς ἐν τῷ δημιουργῷ θεῷ προόντως κειμένας, πρὸς τὴν ἀκρότητα ἄγει θεογνωσίας, ᾗ συνεισέρχεται καὶ ἡ πρὸς θεὸν ὁμοίωσις. τὴν δὲ ὁμοίωσιν ταύτην ΘΕΙΑΝ ΑΡΕΤΗΝ ὁ λόγος καλεῖ, ὡς ἐπὶ ἀνθρωπίνην τὴν περὶ ταύτης καλῶς ἐποχουμένην. εἰς ΕΡΩΤΑ οὖν φιλόσοφον καὶ φιλόκαλον ἀποπειράσθω τὰ προόντα ἔπη. τούτου δ' ἡγουμένου, ἡ τῆς ἀληθείας γνῶσις ἑπέσθω πρὸς ὁμοίωσιν ΤΗΣ ΘΕΙΑΣ ΑΡΕΤΗΣ ἀνάγουσα, ὡς ἐν τοῖς ἑξῆς ἐπιδηλοῦται. τὸ δὲ ἀναγκαῖον τῆς συναφῆς τούτων καὶ ὅρκῳ πιστοῦται. τὸ γὰρ καλῶς κτηθεῖσαν τὴν ἀνθρωπίνην ἀρετὴν πρὸς τὴν θείαν ὁδεύειν ὁμοίωσιν, εὖ μάλα διατεταγμένως ὄμνυσιν. ὁ δὲ σέβου ὅρκον ἐν ἀρχῇ παραγγείλας, τὴν ἀποχὴν τοῦ ὀμνύναι προεστάλκει περὶ τῶν ἐνδεχομένων, καὶ ἀόριστον τῆς ἐκβάσεως ἐχόντων τὸ πέρας. ταῦτα γὰρ τὰ μικρὰ καὶ μεταπίπτοντα· διὸ οὔτε ἄξιον ἐπ' αὐτοῖς ὀμνύναι, οὔτ' ἀσφαλές. οὐ γὰρ ἐφ' ἡμῖν εἰς πέρας αὐτὰ ἀγαγεῖν. περὶ δὲ τῶν παρόντων,

ſplendorem inducens, quemadmodum ipſe pollicetur, cum ait, HAEC TE IN VIRTVTIS DIVINAE VIAM DEDVCENT: quaſi te Deo ſimilem redditura mistam dicat materiarum notitiam certam atque indubitatam. Eo ipſo enim, quod, eorum, quæ ſunt, cauſſas expendimus, quæ primùm in opifice Deo habentur; ad diuinæ cognitionis faſtigium aſcendimus, quo pertingit & ipſa etiam cum Deo ſimilitudo. Vocat autem ſimilitudinem iſtam VIRTVTEM DIVINAM, tanquam ſupra humanam iſta iure eueharur, quæ præcedit. Deſinant ergo in AMOREM, qui ſtudium ſapientiæ atque honeſtatis habeat, verſus primi: eóque primùm poſito ſequatur deinde veritatis cognitio, quæ ad DIVINAE VIRTVTIS cognitionem deducit: quemadmodum ijs, quæ ſequuntur, demonſtrabitur. Confirmat porrò cõiunctionis iſtorum neceſſitatem etiam iureiurando. Iurat enim valde appoſitè virtutem humanam, quæ bene poſſideatur, ad DIVINAM ſimilitudinem viam STERNERE. Quòd autem iuſiurandum colere initio præcepit, ab eo, in dubijs rebus, & quæ euentus finẽ habent incertum, abſtineri voluit. Eſſe enim parui momenti, mutaríque facile: itaque neque iuſtũ in ijs iurare, neque tutũ; cũ eas ad finem perducere noſtræ non ſit facultatis. In his autem, quæ præſentia ſunt,

& necessariò copulata, maximiq́ue momenti, iurare tutum esse, atque decorum. Neque enim nos negotiorum euentus vnquam fefellerit (vinciuntur enim inter se necessitatis lege, in quibus hoc loco iusiurandum adhibetur) nec rei etiam vilitas atque abiectio numinis testimonium recusauerit. Sunt enim non in hominibus tantùm, veritas atque virtus; sed in dijs etiam maximè. Est porrò & iusiurandum ipsi in dogma; quia veritatis magistro tantum decet honoris tribui, vt Per ipsum iuretur, si quando ad placitorum confirmationem opus sit: nec tantùm IPSE DIXIT, de eo vsurpare; sed ita se rem habere, Per ipsum affirmare. Eadem verò opera de optimorum habituum coniunctione, adhibito iureiurando theologatur, & QVATERNARIVM SEMPITERNI rerum ordinis FONTEM eundem cum Deo significat existere. Cæterùm quo pacto Deus ille sit, ex sacro libro, qui Pythagoræ tribuitur, facilè ipse didiceris, in quo numerorum numerus Deus ipse celebratur. Si enim omnia, quę sunt, sempiternis ipsius consilijs subsistant; certum est etiam & numerum in quaq; eorũ specie, quæ existunt, ab illorum caussa depẽdere; primumq́ue ibi numerũ reperiri. Inde enim etiã apud nos. Est porrò numeri interuallũ finitũ denari*.

ἀναγκαίως τε συνημμένων, καὶ μεγίστων ὄντων, ἀσφαλὲς τὸ ὀμνύναι, καὶ πρέπον. οὕτω γὰρ τὸ μεταπίπτον τῶν πραγμάτων ἡμᾶς αὖ ποτε σφήλῃ (δέδεται γὰρ πρὸς ἄλληλα δεσμῷ ἀδρασείας περὶ ὧν ὅρκος νυνὶ γίνεται) καὶ οὔτε τὸ ταπεινὸν αὐτὸ καὶ χαμαιπετὲς τοῦ θείου τὴν ἐπιμαρτυρίαν ἀρνεῖται. ἀλήθεια γὰρ καὶ ἀρετὴ οὐ μόνον ἐστὶν ἀνθρώποις, ἀλλὰ καὶ ἐν θεοῖς τὰ μέγιστα. ἔπειτα καὶ ὁ ὅρκος αὐτῷ γίνεται δόγμα, ὅτι τὸν διδάσκαλον τῆς ἀληθείας οὕτω δέοι τιμᾶν, ὡς καὶ ὀμνύναι αὐτόν, εἴπου δέοι πρὸς βεβαίωσιν τῶν δογμάτων. καὶ μὴ μόνον τὸ ΑΥΤΟΣ ΕΦΑ μὲν περὶ αὐτοῦ λέγειν, ἀλλὰ καὶ ταῦτα οὕτως ἔχειν Νὴ τὸν αὐτόν. ὁμοῦ δὲ περὶ τῆς τῶν καλλίστων ἕξεων συναφῆς ὀμνύων θεολογεῖ, καὶ τὴν ΤΕΤΡΑΔΑ ΠΗΓΗΝ ΤΗΣ ΑΙΔΙΟΥ διακοσμήσεως ἀποφαίνεται τὴν αὐτὴν οὖσαν τῷ δημιουργῷ θεῷ. πῶς δὲ ΤΕΤΡΑΣ ὁ θεός, ἔστιν ἐκ τοῦ εἰς Πυθαγόραν ἀναφερομένου ἱεροῦ λόγου σαφῶς εὑρήσεις, ἐν ᾧ ἀριθμὸς ἀριθμῶν ὁ θεὸς ὑμνεῖται· εἰ γὰρ τὰ ὄντα πάντα ταῖς αἰδίαις αὐτοῦ βουλήσεσιν ὑφέστηκε, δῆλον ὅτι καὶ ὁ ἀριθμὸς ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐκείνων αἰτίας ἤρτηται, καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ. ἐκεῖθεν γὰρ καὶ ἐνταῦθα. τοῦ δὲ ἀριθμοῦ τὸ πεπερασμένον διάστημα ἡ δεκάς.

γρ. οὔτε

γρ. αὐτὸς

ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει
πάλιν ἐπὶ τὸ ἕν, καὶ δύο, καὶ τρία. καὶ δευτέ-
ραν ἀριθμεῖ δεκάδα πρὸς τὴν τῆς εἰκοσά-
δος συμπλήρωσιν. καὶ τρίτην ὁμοίως, ἵνα
τριάκοντα εἴπῃ· καὶ τοῦτο ἑξῆς, ἕως ἂν δεκά-
την ἀριθμήσας δεκάδα εἰς ἑκατὸν προέλθῃ.
καὶ πάλιν ἑκατὸν τὸν αὐτὸν τρόπον ἀριθμεῖ. καὶ
οὕτω μέχρις ἀπείρου τῷ τῆς δεκάδος διαστή-
ματι ἀνακυκλουμένῳ προχωρεῖν δύναται. τῆς
γρ. πρὸ δὲ δεκάδος δύναμις ἡ ΤΕΤΡΑΣ. πρὸ
γὰρ τῆς κατὰ διέξοδον πληθύτητος τῆς ἐν τῇ δεκά-
δι, ἡνωμένη τις τελειότης ἐν τῇ ΤΕΤΡΑ-
γρ. τὴν ΔΙ θεωρεῖται· κατὰ γὰρ σύνθεσιν τῆς ἀπὸ μο-
νάδος ἕως ΤΕΤΡΑΔΟΣ, δεκὰς τὸ πᾶν
ἄθροισμα γίνεται. α' γὰρ, καὶ β', καὶ γ', καὶ δ', τὴν
δεκάδα πληροῖ. καὶ ἔστι μεσότης ἀριθμητικὴ
μονάδος καὶ ἑβδομάδος ἡ ΤΕΤΡΑΣ. καὶ
ἴσῳ γὰρ ἀριθμῷ ὑπερέχει, καὶ ὑπερέχεται, τριάδι
μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα
ὑπερβάλλουσα. μονάδος γὰρ καὶ ἑβδομάδος ἰ-
διώματα κάλλιστά εἰσι, καὶ ἄριστα. ἡ μὲν γὰρ μο-
νὰς, ὡς ἀρχὴ παντὸς ἀριθμοῦ, τὰς πάντων δυ-
νάμεις ἐν ἑαυτῇ συνέχει. ἡ δὲ ἑβδομὰς, ὡς ἀ-
μήτωρ, καὶ παρθένος, τὴν τῆς μονάδος ἀξίαν
δευτέρως ἔχει. οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τι-
νὸς τῶν ἐντὸς δεκάδος· ὡς καὶ ὁ δ', ἐκ τοῦ δὶς β'.

Qui enim vlterius numerare statuat, ad vnum iterum, duoque, & tria regreditur, secundamque decadem ad viginti vsque complet; & tertiam rursum, vt ad triginta perueniat: idemque facit deinceps, donec expleta decade decima, progrediatur ad centum. A quo rursum numero ad superiorem pariter ascendit. Atque ita ad infinitum vsque, decadis interuallo repetito, licet procedere. Est verò denarij vis QVATERNARIVS. Antequam enim ad denarij perfectionem perueniatur, vnita quædam perfectio deprehenditur in QVATERNARIO. Compositione siquidem, quæ fit ab vnitate ad QVATERNARIVM, denarius totum est, quod consurgit. Implent enim decadem, vnum, & duo, & tria, & quatuor. Est præterea arithmetica medietas vnitatis, & septenarij QVATERNARIVS. Superat enim æquali numero, atque superatur; cùm ternario quidem distet à septenario; vnitatem verò etiam ternario superet. Sunt nanque vnitatis, atque septenarij proprietates pulcherrimæ, atque optimę. Vnitas enim, tanquã numeri cuiuscũque principiũ, vires omniũ in se cõplectitur. Septenarius verò, tãquã matre carẽs, atque virgo, vnitatis dignitatẽ habet secũdario. Nõ enim ab vllo numero gignitur, q denario cõtineatur: vti quatuor ex bis duob':

& sex, ex bis tribus: & octo, ex bis quatuor: & nouem, ex ter tribus: & decem, ex bis quinque. Nec gignit etiam eorum aliquẽ, qui sunt intra denarium: vt binarius quaternarium: vt ternarius nouenariũ: vt quinarius denarium. Cùm sit autem QVATERNARIVS inter vnitatem ingenitam, atque septenarium matre carentem medius; eorum vires, qui gignunt, & gignuntur solus ex ijs, qui decade continentur, simul accipit, productus ipse ab aliquo, idemque producẽs aliquem. Binarius enim, si duplicetur parit QVATERNARIVM: & octonarium QVATERNARIVS, si geminetur. Accedit, quòd prima solida figura in quaternario reperitur. Punctus namque respondet vnitati: linea verò binario, quæ ab aliquo feratur ad aliquid. Ternari⁹ verò superficiei cõuenit. Est enim figurarum, quæ rectis lineis constant, simplicissimus triangulus. Est & quaternario propria soliditas. Prima namq; pyramis in quaternario cõspicitur: cuius basin triquetram ternarius efficit numerus; verticem verò vnitas ipsa. Sunt preterea in ijs, quę sunt, facultates iudicãdi quatuor; mens, sciẽtia, opinio, atque sensus. Fit enĩ omniũ, q̃ sunt, iudiciũ, vel mẽte; vel sciẽtia; vel opinione, vel sẽsu. denique, vt semel dicã, quicquid est, id omne colligauit quaternari⁹: ĩ elemẽtis; ĩ numeris; in tẽpestatib⁹ anni, in ętatũ cõtuberniis. Nec quicquã potest adferri,

καὶ ὁ ἓξ, ἐκ τοῦ δὶς γ'. καὶ ὁ η', ἐκ τοῦ δὶς δ'. καὶ ὁ θ', ἐκ τοῦ γ' γ'. καὶ ὁ ι', ἐκ τοῦ δὶς ε'. οὔτε γεννᾷ τινὰ τῶν* ἐντὸς δεκάδος· ὡς ὁ δύο τὸν τέσσαρα. καὶ ὁ γ' τὸν θ'. καὶ ὁ ε' τὸν ι'. τῆς δὲ ἀγεννήτου μονάδος, καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ ΤΕΤΡΑΣ μέση κειμένη, τὰς τῶν γεννώντων, καὶ γεννωμένων δυνάμεις ἅμα συνείληφε μόνη τῶν ἐντὸς δεκάδος καὶ γεννωμένη ἀπό τινος ἀριθμοῦ, καὶ γεννῶσα τινά. ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν ΤΕΤΡΑΔΑ γεννᾷ. ἡ δὲ ΤΕΤΡΑΣ δύο γενομένη, τὸν ὀκτὼ ἀποτελεῖ. καὶ στερεᾶς πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται. τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι. ἡ δὲ γραμμὴ δυάδι. ἀπό τινος γὰρ ἐπί τι. καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστατον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον. τὸ στερεὸν δὲ οἰκεῖον τῇ ΤΕΤΡΑΔΙ. ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ ΤΕΤΡΑΔΙ θεωρεῖται. τριγώνου μὲν βάσεως ἀποτεθείσης τοῦ τρία, κορυφῆς δὲ αὐτῆς ἐπιτεθείσης τοῦ ἑνός. καὶ κριτικαὶ δὲ δυνάμεις ἐν τοῖς οὖσι τέσσαρες, νοῦς, ἐπιστήμη, δόξα, καὶ αἴσθησις. κρίνεται γὰρ πάντα τὰ ὄντα ἢ νῷ, ἢ ἐπιστήμῃ, ἢ δόξῃ, ἢ αἰσθήσει. καὶ ἁπλῶς, τὰ ὄντα πάντα ἡ ΤΕΤΡΑΣ ἀνεδήσατο, στοιχείων, ἀριθμῶν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν συνοικισμῶν. καὶ οὐκ ἔστιν εἰπεῖν,

*γρ. ἐκτὸς

ὃ μὴ τῆς ΤΕΤΡΑΚΤΥΟΣ, ὡς ῥίζης καὶ ἀρχῆς ἤρτηται. ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων, καὶ αἰτία ἡ ΤΕΤΡΑΣ, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου, καὶ αἰσθητοῦ θεοῦ. ΠΑΡΑΔΕΔΟΤΑΙ δὲ ἡ τούτων γνῶσις τοῖς Πυθαγορείοις δι' αὐτοῦ τοῦ Πυθαγόρου, ὃν καὶ
φησιν νῦν ἑπόμενος ὁ τῶν ἐπῶν τούτων συγγραφεὺς*, ὅτι τῆς ἀρετῆς ἡ τελείωσις πρὸς τὴν τῆς ἀληθείας ἔλλαμψιν ἡμᾶς ἀνάξει. ὥστε καὶ κατὰ τοῦτο εἴποι ἄν τις, ἰδίᾳ μὲν τηρεῖσθαι τὸ σέβου ὅρκον ἐπὶ τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων θεῶν· ἰδίᾳ δὲ νῦν ὀμνύσθαι κατὰ τοῦ ΠΑΡΑΔΟΝΤΟΣ ἡμῖν τὴν ΤΕΤΡΑΚΤΥΝ διδασκάλου, ὃς οὐκ ἦν τῶν ἀθανάτων θεῶν, οὐδὲ τῶν φύσει ἡρώων, ἀλλ' ἄνθρωπος ὁμοιώσει θεοῦ κοσμηθείς, καὶ πρὸς τοὺς ἀφ' ἑαυτοῦ θείαν ἀποσώζων εἰκόνα. ὅθεν καὶ ἔνορκον αὐτὸν ἐπὶ τῶν οὕτω μεγάλων ποιεῖται, λεληθότως ἐπεμβάλλων τὸ περὶ Πυθαγόραν τῶν ἀκροατῶν σέβας, καὶ τὴν ἀξίαν αὐτοῦ δηλῶν, δι' ὧν παραδέδωκε μαθημάτων. μέγιστον δὲ τούτων ἡ τῆς δημιουργικῆς ΤΕΤΡΑΚΤΥΟΣ γνῶσις. ἀλλ' ἐπεὶ τὰ μὲν πρῶτα ἐπιτέτμηται· τὰ δὲ δεύτερα ἐν ὑποχρώσει κεῖται βέβαια, καὶ ἀψευδεῖ ἐλπίδι τῆς ΤΕΤΡΑΚΤΥΟΣ ἱεροφάντης ἔγνωσται, καὶ ὡς αὐτὴ ἡ ΤΕΤΡΑΚΤΥΣ,

quod à QVATERNARIO, tanquam radice, atque principio, non dependeat. Est enim ipse(quemadmodum diximus) omnium opifex, atque caussa; Deus mente perceptibilis;cælestis, sensumque mouẽtis Dei,autor.Est autẽ istorum TRADITA Pythagoreis per Pythagoram ipsum cognitio;quem insecutus qui versus istos conscripsit, virtutis perfectionem ad splendorem veritatis nos esse perducturam significat. Quo fit, vt ista ratione dicat aliquis, peculiariter quidem seruari præceptum de colendo iureiurando in dijs, qui semper, eodemque modo existunt: peculiariter autem iurari hoc loco, PER magistrum, QVI QVATERNARIVM NOBIS TRADIDIT;qui nec erat ex Deorum immortalium numero, nec ex heroum genere; sed vir, Dei similitudine præditus, diuinæque imaginis autoritatẽ apud suos retinens. vnde fit, vt in magnis adeò rebus ipsum adhibeat in iuramentum; tacitè innuens qua ratione á suis auditoribus coleretur Pythagoras; quantumque disciplinis, quas tradidit, sibi dignitatis peperisset. Est verò earũ lõgè maxima QVATERNARII opificis cognitio. Verũ quoniã quæ prima erant, breuiter explicata sũt: quę secũda autẽ vanã nequaquã habẽt promissionẽ: quia deinde spe certa facer QVATERNARII ĩterpres innotuit: docuimus autẽ quinã esset iste QVATERNARIVS

quantùm præsenti scripto conduceret: age, etiam ad ea, quæ præcipit versus, transeamus, primúmque, qua ratione id adgredi, & quid parare, vtque præstantiorum ope implorata, ad ista conueniat accedere, demonstremus.

48 PORRO ACCEDITO AD OPVS, 49 VBI DEOS PRECATVS FVERIS, VT CONFICIAS.

—Finem dein fausta precatus Numina, opus facito.—

Omnia paucis, quæ ad bonorum adeptionem faciunt, describit versus, animi scilicet impulsionem propriam, diuinúmque auxilium. Quanuis enim ipsa etiam honestorum electio penes nos sit: quia tamen vires istas à DEO etiam habemus; eius opera, rerúmque PERFECTIONE, quæ sensus mouent, omnino ferè indigemus. Videtur enim quod conamur, manui quidem non absimile, quæ ad bonorum acceptionem exporreota sit: quod autem à Deo cõfertur, suppeditationi atque fonti, vnde fluit bonorum largitio: ita deinde natura comparatum esse, vt illud quidem inuestiget quæ bona sunt; hoc verò illi indicet, qui rectè quæsiuerit: PRECES autem limitem medium existere inter quęrẽdi studium, largitionémque diuinã, quę nostri caussę in hærẽtes (à qua id habemus, vt sim⁹,

ὅσον τοῖς παροῦσι προσήκει λόγοις, ὑπομνήσεως ἔτυχε· φέρε, καὶ ἐφ' ἃ προελθεῖν ὁ λόγος παρακελεύεται, μετίωμεν, πρότερον μεθ' οἵας ὁρμῆς καὶ παρασκευῆς, καὶ συνεργίας τῶν κρειττόνων ἥκειν ἐπὶ ταῦτα προσήκει ὑποδείξαντες.

48 ——ΑΛΛ' ΕΡΧΕΥ ΕΠ' ΕΡΓΟΝ 49 ΘΕΟΙΣΙΝ ΕΠΕΥΞΑΜΕΝΟΣ ΤΕΛΕΣΑΙ.——

Πάντα τὰ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν συντελοῦντα διὰ βραχέων ὑπέγραψεν ὁ λόγος, τό τε τῆς ψυχῆς αὐτοκίνητον, καὶ τὴν τοῦ θεοῦ συνεργίαν. εἰ γὰρ καὶ ἐφ' ἡμῖν αἵρεσις τῶν καλῶν, ἀλλὰ καὶ αὐτὸ τὸ ἐφ' ἡμῖν θεόθεν ἔχοντες, τῆς παρ' ἐκείνου συνεργίας, καὶ τελειώσεως τῶν αἰσθητῶν πάντως που χρῄζομεν. ἔοικε γὰρ τὸ μὲν παρ' ἡμῶν σπουδαζόμενον ἐκτεινομένῃ χειρὶ πρὸς λῆψιν τῶν καλῶν· τὸ δὲ παρὰ θεοῦ συντελούμενον χορηγίᾳ εἶναι, καὶ πηγῇ τῆς δόσεως τῶν ἀγαθῶν. καὶ τὸ μὲν ἐξευρίσκειν πεφυκέναι τὰ καλά· τὸ δὲ ἐκφαίνειν τῷ ζητοῦντι ὀρθῶς. ἡ δὲ ΕΥΧΗ μεθόριον εἶναι τῆς τε παρ' ἡμῶν ζητήσεως, καὶ τῆς παρὰ τοῦ θεοῦ δόσεως, ἐχομένη τῆς αἰτίας ἡμῶν, τῆς εἰς τε τὸ εἶναι

ἐκζητεῖν

προαγούσης ἡμᾶς, καὶ πρὸς τὸ εὖ εἶναι τελειούσης. πῶς δ' ἂν λάβοι τις τὸ εὖ, μὴ διδόντος θεοῦ; πῶς δ' ἂν δοίη τῷ πρὸς τὰς ὁρμὰς αὐτεξουσίῳ μὴ αἰτοῦντι ὁ διδόναι πεφυκὼς θεός; ἵν' οὖν μήτε λόγῳ μόνῳ τὴν ΕΥΧΗΝ ποιώμεθα, ἀλλὰ καὶ ΕΡΓΩ ταύτην κρατύνωμεν, μήτε τῇ ἑαυτῶν ἐνεργείᾳ μόνῃ θαρρῶμεν, ἀλλὰ καὶ ΕΡΓΩ θεόθεν συνεργείας ΕΥΧΩΜΕΘΑ, καὶ ὡς εἶδος ἐπὶ ὕλῃ, τὴν ΕΥΧΗΝ τῷ ΕΡΓΩ συνάπτωμεν· καὶ τὸ ὅλον τοῦτο, ὅπως ἃ ἐργαζόμεθα καὶ ΕΥΧΩΜΕΘΑ, καὶ ἃ εὐχόμεθα ΕΝΕΡΓΩΜΕΝ, συνάψας εἶπεν· ΑΛΛ' ΕΡΧΕΥ ΕΠ' ΕΡΓΟΝ ΘΕΟΙΣΙΝ ΕΠΕΥΞΑΜΕΝΟΣ ΤΕΛΕΣΑΙ. οὔτε γὰρ μόνον προθυμεῖσθαι δεῖ τὰ καλά, ὡς ἐφ' ἑαυτοῖς ὄντα κατορθῶσαι, καὶ χωρὶς τῆς ΘΕΟΥ συνεργείας· οὔτε ψιλῆς τῆς ΕΥΧΗΣ τοῖς λογισμοῖς ἀρκεῖσθαι, μηδὲν πρὸς τὴν κτῆσιν τῶν αἰτηθέντων προσφέροντας. οὕτω γὰρ ἢ ἄθεον ἀρετήν, εἰ οἷόν τε τοῦτο εἰπεῖν, ἐπιτηδεύσαμεν· ἢ ἀνενέργητον ΕΥΧΗΝ· ὧν τὸ μὲν ἄθεον ὂν προαναιρεῖ τῆς ἀρετῆς τὴν οὐσίαν· τὸ δὲ ἀργὸν ἐκλύει τῆς ΕΥΧΗΣ τὸ δραστήριον. πῶς γὰρ ἔσται τι καλόν, ὃ μὴ πρὸς κανόνα τὸν θεῖον πράττεται; πῶς δὲ τὸ πρὸς τοῦτον πραττόμενον οὐ τῆς ἐκείνου συνεργείας πάντως δεῖται πρὸς ὑπόστασιν; ἔστι γὰρ

eò etiam tandem nos promouent, vt benè simus. Quî possit præterea quod bonum est accipere, Deo ipso non largiẽte? quî rursum cupiendi libertatem habenti, nec poscenti, Deus ipse natura liberalis, donare statuat? ne igitur aut verbis tantùm PRECES faceremus; sed opere etiam illas firmaremus: aut nostris solùm actionibus consideremus; sed vt agendo etiam diuinum auxilium PRECAREMVR, & tanquam formam materiæ, PRECES OPERI adiungeremus: idque totum, vt quæ ipsi AGEREMVS, PRECAREMVR, & quæ PRECAREMVR, AGEREMVS, adiungens monuit, vt NONNISI DEOS PRECATI AD OPVS ACCEDEREMVS. Neque enim quæ honesta sunt ita solùm debemus suscipere, tanquam ea ipsi per nos, nulla Dei ope possimus gerere: neque rursum ita nuda PRECVM ratione contenti esse, vt nihil ad ea paranda, quę petuntur, adiiciamus. Ita enim aut virtutem, quæ Dei sit expers (si fas id dicere) amplectemur; aut PRECES inefficaces: quorum quidem alterum eo ipso, quòd Deo careat, virtutis naturam præfoca: alterum autem, quia iners, PRECVM resoluit efficaciam. Quî enim honestum esse queat, quod secundum diuinam regulam non geritur? quî rursum quod ex eius ratione fit; non eiusdem auxilio penitus egeat, vt subsistat? est enim

virtus ipsa, Dei imago in animo rationis participe. Eget autẽ exemplari imago quęlibet, vt subsistat. Frustra deinde adipiscaris aliquid, si eò non spectet, ad cuius similitudinem partum est id, quod honestum est. Decet ergo PRECES eos adhibere, qui ad virtutis OPVS se accingunt; & operari, qui huius adeptionem precantur. Est verò hoc ipsum, quod ad diuinitatem atque splendorem intuentes facit, etiam ad sapientiæ studium, adiuncta bonorum caussa prima, sese applicare. Fons enim perennis naturæ quaternarius ille, non solùm existendi, sed bene etiam existendi omnibus perpetua caussa est; bonum proprium per orbem vniuersum, tanquam lucem incorruptibilem, atque intelligibilem expendens. Cui cùm animus inhæret, sibíque, tanquam oculum ad acuendam visus aciem perpurgat; ipsa etiam honestorum cura ad PRECES excitatur: & rursum voti adeptione studium intendit, verbis OPERA adiungens, OPERAQVE bona diuinis allocutionibus confirmans. Alia rursum cùm quidem inuenit; alijs autem illustratur; ea ipse SATAGIT, quæ PRECATVR, & PRECATVR, quæ SATAGIT. Atque hæc quidem est diligentis OPERAE, atque PRECVM, coniunctio. Quænã autem sint, quę ope vtriusque præclarè geruntur, deinceps audiamus.

ἀρετὴ εἰκὼν θεοῦ ἐν ψυχῇ λογικῇ. εἰκὼν δὲ πᾶσα τοῦ παραδείγματος δεῖται πρὸς ὑπόστασιν. καὶ εἰκῆ τὸ κτώμενον, ἐὰν μὴ ἐκεῖσε βλέπῃ, οὗ πρὸς ὁμοίωσιν τὸ καλὸν κτήσεται. σπεύδοντας οὖν πρὸς τὴν ἔνεργον ἀρετὴν, ΕΥΧΕΣΘΑΙ προσήκει, καὶ ΕΥΧΟΜΕΝΟΥΣ τὴν κτῆσιν ταύτης ΕΡΓΑΖΕΣΘΑΙ. τοῦτο δὴ, ὃ πρὸς τὸ θεῖον καὶ λαμπρὸν βλέποντας πράττειν, καὶ πρὸς φιλοσοφίαν ἑαυτοὺς συντείνειν, μετὰ τῆς προσφόρου τῆς αἰτίας τῶν ἀγαθῶν. ἡ γὰρ πηγὴ τῆς ἀενάου φύσεως ἡ τετρακτὺς ἐκείνη, οὐ μόνον τοῦ εἶναι τοῖς πᾶσιν, ἀλλὰ καὶ τοῦ εὖ εἶναι αἰώνιος αἰτία καθέστηκε, τὸ οἰκεῖον ἀγαθὸν διὰ παντὸς ἐφαπλώσασα τοῦ κόσμου, οἷον φῶς ἀκήρατον καὶ νοερόν. ἡ δὲ ταύτης ἐχομένη ψυχὴ, καὶ ὡς ὄμμα πρὸς ὀξυωπίαν ἑαυτῆς διασμήξασα, ἔκ τε τῆς ἐπιμελείας τῶν καλῶν πρὸς τὴν ΕΥΧΗΝ ἀνεγείρεται. καὶ πάλιν ἀπὸ τῆς ΕΥΚΤΙΚΗΣ πληρώσεως τὴν σπουδὴν ἐπιτείνει, λόγοις ΕΡΓΑ συνάπτουσα, καὶ ΕΡΓΑ σπουδαῖα θείαις διαλέξεσι βεβαιουμένη. καὶ τὰ μὲν εὑρίσκουσα, τὰ δὲ ἐλλαμπομένη, σπουδάζει ἃ ΕΥΧΕΤΑΙ, καὶ ΕΥΧΕΤΑΙ ἃ σπουδάζει. τοιαύτη μὲν ἡ τῆς σπουδῆς, καὶ τῆς Ϗ ΕΥΧΗΣ ἕνωσις. Ἃ δὲ δεῖ τὰ δι᾽ ἀμφοτέ- τίνα δὲ ρων τούτων κατορθούμενα ἑξῆς ἀκούωμεν.

49 — ΤΟΥΤΩΝ ΔΕ ΚΡΑΤΗΣΑΣ, 50 ΓΝΩΣΕΑΙ ΑΘΑΝΑΤΩΝ ΤΕ ΘΕΩΝ, ΘΝΗΤΩΝ Τ' ΑΝΘΡΩΠΩΝ 51 ΣΥΣΤΑΣΙΝ· Η ΤΕ ΕΚΑΣΤΑ ΔΙΕΡΧΕΤΑΙ· Η ΤΕ ΚΡΑΤΕΙΤΑΙ.

Πρῶτον μὲν ΘΕΟΓΝΩΣΙΑΝ, καὶ θεολογικὴν ἐπιστήμην παρέσεσθαι τοῖς οὕτως ἀχθεῖσι προλέγει, καὶ πάντων τῶν ἀπὸ τῆς ἱερᾶς τετρακτύος ὑποστάντων τὴν ΕΠΙΓΝΩΣΙΝ, μετὰ τῆς κατὰ γένος αὐτῶν διακρίσεως, καὶ τῆς εἰς ἕνα κόσμον ἑνώσεως. τὴν μὲν γὰρ σύνταξιν αὐτῶν ἐνταῦθα τὸ τῆς ΣΥΣΤΑΣΕΩΣ ὄνομα δηλοῖ. τὸ δὲ, Η ΔΙΕΡΧΕΤΑΙ, τὴν κατ' εἶδος διαφοράν. καὶ τὸ, Η ΚΡΑΤΕΙΤΑΙ, τὴν κατὰ γένος κοινωνίαν. φύσει γὰρ διεστῶτα τῶν λογικῶν οὐσιῶν τὰ γένη κατὰ ταύτην τὴν διάστασιν εἰς μίαν κοινωνίαν συνέρχεται. τῷ γὰρ εἶναι τὰ μὲν πρῶτα, τὰ δὲ μέσα, τὰ δὲ ἔσχατα, διακέκριται ἅμα, καὶ ἑνοῦται. οὔτε γὰρ τὰ πρῶτα γένοιτο μέσα, ἢ ἔσχατα. οὔτε τὰ ἔσχατα, μέσα, ἢ πρῶτα· ἀλλὰ τοῖς δημιουργικοῖς ὅροις ἀϊδίως μένει διακεκριμένα

49 POSTQVAM VERO ISTA ADEPTVS FVERIS; 50 NORIS DEORVM ETIAM IMMORTALIVM, ATQVE MORTALIVM HOMINVM 51 CONSTITVTIONEM: QVO QVE SINGVLA PROGREDIANTVR, ET QVO CONSISTANT.

——Quæ tu si gesseris, idem
Noris qua cōstēt natura hominésq;, Deiq;.
Sīgula quò pergāt, sistēt quò singula rursū.

Primùm quidē Dei notitiā, theologicámque scientiam eos esse adepturos, qui ita se gesserint, pollicetur: nec ea etiā ignoraturos, quæ sacro autore quaternario subsistūt: cū eorū per genera distinctione, ipsáq; etiā in mundum vnū vnitione. Significat enim hoc loco CONSTITVTIONIS nomine, coniunctionem eorum. Quòd autem QVO PROGREDIANTVR dixit, differentiam indicauit, quæ fit secundum speciem: vt communionē generis, cùm, QVO CONSISTANT, addidit. Natura enim alioqui distincta essentiarum genera, quæ ratione prædita sunt: hac distinctione tamē coëunt in societatem vnam. Eo ipso nanque, quòd sunt alia quidem prima; alia verò media, alia etiā vltima; distinguūtur simul, atque vniūtur. Nō enim quæ prima sūt, media esse queant, vel vltima. Neque quę vltima, media, vel prima: sed genere distincta,

terminis ab opifice constitutis manent perpetuò. Atque ita quidem QVO PROGREDIANTVR, intelligimus. Quo autem CONSISTANT; ita rursum considerabimus. Nihil verò huiusmodi perfectũ esse queat, quod primas, medias, atque vltimas partes in seipso tanquam principium, medium, atque finem totius coagmentationis, non habeat. Nec prima fuerint, quæ prima sunt;nisi sequantur quæ media, & vltima. Nec media rursus id ipsum, quod dicuntur;si extremis vtrinque careant. Conducunt ergo mutuò ad vniuersi perfectionem. Atque id ipsum est, quod CONSISTERE inter se ipsa significantur, quæ specierum quidem varietate distincta sint: sed tanquam mundi vnius partes coëuntia, vt ipse fiat, distinctione simul atque vnitione totam diuini ornatus implent CONSTITVTIONEM, atque coagmentationem: quam TE COGNITVRVM significat, si bonis, quæ superiùs dicta sunt, POTIARIS. Extremorum porrò generum mentione, ea etiam intelliguntur, quæ media sunt. Quod significauit cùm IMMORTALIVM DEORVM, MORTALIVMQVE HOMINVM CONSTITVTIONEM dixit. Coniunguntur etiam vltimis quæ prima, mediorum interuentu. Protenduntur deinde quæ vltima ad prima vsque, heroum illustrium interpositione.

Sunt

κατὰ γένος. καὶ οὕτω μὲν Η ΕΚΑΣΤΑ ΔΙΕΡΧΕΤΑΙ νοούμενα. τὸ δὲ Η ΕΚΑΣΤΑ ΚΡΑΤΕΙΤΑΙ, πάλιν αὖ τῇδε θεωρήσομεν. πᾶν τόδε ὂν ἂν εἴη τέλειον, μὴ πρῶτα, καὶ μέσα, καὶ ἔσχατα μέρη ἐν ἑαυτῷ κεκτημένον, ὡς ἀρχὴν, καὶ μέσα, καὶ τελευτὴν τοῦ ὅλου συστήματος. καὶ τὰ πρῶτα ὄντα ἂν εἴη πρῶτα, μὴ μέσων καὶ ἐσχάτων αὐτοῖς ἑπομένων. οὐδὲ τὰ μέσα τοῦτ' ἂν εἴη, ὃ λέγεται, μὴ ἄκρων ἑκατέρωθεν αὐτοῖς παρακειμένων. ἀλλ' οὐδὲ τὰ ἔσχατα εἴη ἂν ἔσχατα, μὴ πρώτων καὶ μέσων προηγουμένων. συνέστηκεν οὖν ἄλληλα πρὸς τὴν τοῦ παντὸς τελειότητα. καὶ τοῦτ' ἦν, τὸ ΚΡΑΤΕΙΣΘΑΙ αὐτὰ ὑπ' ἀλλήλων. ὡς μὲν ἑτεροειδῆ διαφέροντα· ὡς δὲ ἑνὸς κόσμου μέρη συνεισιόντα αὐτῷ, τῷ διεστάναι ἅμα καὶ ἡνῶσθαι τῆς θείας διακοσμήσεως τὴν ὅλην ΣΥΣΤΑΣΙΝ, καὶ σύνταξιν πληροῦντα· ἣν ΓΝΩΣΕΑΙ, φησὶν, εἰ ἐγκρατὴς γένοιο τῶν προειρημένων καλῶν. τῶν δὲ ἄκρων γνῶσιν τῇ μνήμῃ συνεισέρχεται καὶ τὰ μέσα. ΑΘΑΝΑΤΩΝ γάρ φησι, ΘΕΩΝ, ΘΝΗΤΩΝ Τ' ΑΝΘΡΩΠΩΝ ΣΥΣΤΑΣΙΝ. καὶ τὰ δὲ πρῶτα τοῖς ἐσχάτοις διὰ τῶν μέσων συνάπτονται· καὶ τὰ ἔσχατα πρὸς τὰ πρῶτα τῇ μεσότητι τῶν ἀγαθῶν ἡρώων ἀνατείνεται.

τοιαῦτα δὲ, καὶ ἡ τάξις τῶν λογικῶν γενῶν, καὶ ἐν προοιμίοις παραδέδοται, ὡς εἶεν μὲν πρῶτοι ἐν τῷδε τῷ κόσμῳ οἱ ΑΘΑΝΑΤΟΙ ΘΕΟΙ· ἔπειτα ἥρωες ἀγαυοί· καὶ τελευταῖοι δαίμονες καταχθόνιοι, οὓς ΘΝΗΤΟΥΣ ΑΝΘΡΩΠΟΥΣ καλεῖ. πῶς δὲ ΕΚΑΣΤΟΝ τούτων δεῖ νοεῖν ἤδη εἴρηται· τὸ δὴ ΓΝΩΣΙΝ τούτων λαβεῖν ἐπιστημονικὴν, ὧν ἐκ παραδόσεως τὴν τιμὴν προειλήφαμεν προσηκόντως ἀρετὴν ἀληθείᾳ θεωρητικῇ κοσμούντων, ἢ καὶ ἀπὸ τῆς ἀνθρωπίνης εὐεξίας ἐπὶ τὴν θείαν ἀρετὴν μεθισταύντων. τὸ γὰρ οὕτω ΓΝΩΝΑΙ τὰ ὄντα, ὡς παρ' αὐτοῦ τοῦ θεοῦ
* ἐπὶ ὑπέστησαν, ὁμοίωμα θεῖον *κτήσασθαι. ἐπειδὴ δὲ μετὰ τὴν ἀθάνατον διακόσμησιν ἡ σωματικὴ φύσις ὑπόκειται τὸν ἐμφανῆ τοῦτον συμπληροῦσα κόσμον, καὶ πρὸς τὴν τῶν λογικῶν οὐσιῶν ἡγεμονίαν συντεταγμένη, ἑξῆς τὸ τῆς φυσιολογικῆς ἐπιστήμης ἀγαθὸν ἐπακολουθῆσαι μηνύει τοῖς τάξει προσιοῦσιν ἐπὶ τὰς γνώσεις.

52 ΓΝΩΣΗ Δ', Η ΘΕΜΙΣ ΕΣΤΙ ΦΥΣΙΝ ΓΕΡΙ ΓΑΝΤΟΣ ΟΜΟΙΗΝ· 53 ΩΣΤΕ ΣΕ ΜΗΤ' ΑΕΛΓΤ' ΕΛΠΙΖΕΙΝ, ΜΗΤΕ ΤΙ ΛΗΘΕΙΝ.

Sũt verò iſta, ordóq; ipſe naturarũ rationis participũ, initio à nobis explicata; cùm diximus primas in mũdo hoc occupare Deos immortales; ſecundas autem heroas illuſtres; vltimas verò terrenos dęmonas; quos MORTALES HOMINES appellat. Significatum eſt pręterea qua ratione eſſet iſtorũ quodq; intelligendum: ſi nempe eorum ipſi NOTITIAM ſcientiæ effectricem adipiſcamur, ex quorum traditione, de illorũ honore antea attigimus, qui virtutem actiuam veritate cõtemplationis exornarunt: aut etiam qui ab humani habitus bonitate ad diuinam virtutem tranſierunt. Ita enim noſſe quę exiſtũt, vt ſunt à Deo ipſo in naturã producta, Dei ſimilitudinem adipiſci eſt. Quoniam autem poſt æterna ornamenta ſequitur ipſa etiam inferior corporum natura, quæ patentem hunc mundum complet, quæque ad naturarum rationis participum ſtabiliendũ imperiũ, ordinata eſt: ſignificat deinceps philoſophicę ſciẽtiæ bonũ eos eſſe ſecuturũ, qui ordine ad illorũ cognitionẽ acceſſuri ſunt.

52 NOVERIS PORRO, QVATENVS FAS EST, NATVRAM IN VNIVERSO SIMILEM: 53 VT NEC IPSE SPERES, QVAE SPERANDA NON SVNT; NEC TE FVGIAT ALIQVID.

Noueris & mundi naturã, quapote, eandem:
Vt te nec ſpes vana angat; lateant quoque nulla.

Mundũ hunc aſpectabilem cùm NATVRA ad diuinę menſuræ rationem effingeret; eundẽ ſibi proportione vbique varijs modis reſpondere voluit; diuinámque pulchritudinẽ ita formis omnibus, quæ in eo ſunt, aliter atque aliter expreſſam ſpectari; vt cælum quidem motus haberet perpetuitatem; terra verò ſtabilitatẽ: horum autem vtrũque diuinæ ſimilitudinis veſtigium oſtẽderet. Dedit præterea cæleſti corpori, VNIVERSITATIS ambitum: terrarum verò orbi, vmbilicum. Eſt verò in orbe aliter quidẽ principium vmbilicus; aliter autẽ eius finis, quod ambit. Vnde fit, vt quę ſuprà ſunt, aſtris quidẽ varijs, intelligibilibúſq; prętere a animátib' refetta ſint: terra autem plãtis ornata, & animãtib', quę ſenſu tãtúm vtũtur. Sed horũ medi', quę diſtãt adeò, apparet homo, veluti vtriuſque vitę particeps aliquis. Vltim' quidẽ, ſi ad ſuperiora aduertas: primus autẽ, ſi ad inferiora. Quo fit, vt primùm quidẽ cũ dijs cõſẽtiat, ſuãque ipſe ſortẽ recuperet, cũ ad mẽtẽ cõuertitur: aliquãdo etiã cũ mortalib' formis ſocietatẽ ineat; ipſáque diuinarũ legũ trãſgreſſione, ſua dignitate excidat. Fit enĩ quia ſit generũ rationis participũ vltimus, vt nec eodẽ modo, nec ſẽper intelligat. Alias enĩ nõ homo, ſed natura De' exiſteret. Nec poteſt rurſũ ſẽper intelligere, licet iſtud eodẽ modo nõ faciat. Hoc enim angelorũ ordini ipſum aſcriberet; cùm nunc homo ſit

Πρὸς τὴν θείαν συμμετρίαν ἡ ΦΥΣΙΣ τὸν ἐμφανῆ κόσμον ἀποτυπουμένη, δι' ἀναλογίας τε αὐτὸν ἑαυτῷ πανταχοῦ διαφόρως ὡμοίωσε, καὶ τὸ θεῖον κάλλος ἐνεικονίσατο διὰ ὅλων τῶν ἐγκοσμίων εἰδῶν ἄλλως καὶ ἄλλως· ὥστε οὐρανῷ μὲν ἀποδοῦναι τὸ ἀεικίνητον· γῇ δὲ τὸ μόνιμον· ἑκάτερον δὲ τούτων θείας ὁμοιώσεως ἴχνος ἀποφέρεσθαι. καὶ τῷ μὲν οὐρανίῳ σώματι τὸ πέριξ τοῦ ΠΑΝΤΟΣ ἀπένειμε· τῷ δὲ περιγείῳ τὸ κέντρον. ἐν δὲ σφαίρᾳ ἄλλως μὲν τὸ κέντρον ἀρχή· ἄλλως δὲ ὁ τοῦ περιέχοντος ὅρος. ὅθεν τὰ ἄνω μὲν ἄστροις πεποίκιλται, καὶ τοῖς μετ' ἐκεῖνα ζώοις νοεροῖς· γῆ δὲ φυτοῖς ἐκοσμήθη, καὶ ζώοις αἰσθήσει μόνῃ χρωμένοις. μεσότης δὲ τῶν οὕτω διεστηκότων ὁ ἄνθρωπος ἐνορᾶται ἀμφίβιός τις ὤν, καὶ ἔσχατος μὲν τῶν ἄνω, πρῶτος δὲ τῶν κάτω. διὸ πρότερον μὲν τοῖς ἀθανάτοις συμφέρεται, καὶ τῇ πρὸς νοῦν ἐπιστροφῇ τὴν οἰκείαν λῆξιν ἀπολαμβάνει· ποτὲ δὲ τοῖς θνητοῖς εἴδεσι συναγκλάζεται, καὶ τῇ τῶν θείων νόμων ἐκβάσει τῆς προσηκούσης αὐτῷ ἀξίας ἀποπίπτει. ὡς γὰρ ἔσχατος τῶν λογικῶν γενῶν, οὔτε ὡσαύτως, καὶ ἀεὶ πέφυκε νοεῖν· οὔτε γὰρ ἦν ἄνθρωπος, ἀλλὰ φύσει θεός· οὔτε ἀεὶ νοεῖν δύναται, εἰ καὶ μὴ ὡσαύτως· τοῦτο γὰρ αὐτὸν εἰς τὴν ἀγγέλων καθίστησι τάξιν· νοῦν δέ ἐστιν αὐτὸς

ὁμοιώσει μὲν πρὸς τὸ βέλτιον ἀξιῶσαι δυνάμενος, ΦΥΣΕΙ δὲ ὑποβεβηκὼς τῶν ἀθανάτων θεῶν, καὶ τῶν ἀγαυῶν ἡρώων, ὡς εἰκομίων πρώτων, καὶ μέσων γενῶν. ὥσπερ δὲ τούτων ὑπέβη τῷ μὴ ἀεὶ νοεῖν, ἀλλ' ἐν ἀγνοίᾳ ποτὲ καὶ λήθῃ γίνεσθαι τῆς ἑαυτοῦ οὐσίας, καὶ τῆς θεόθεν κατιούσης εἰς αὐτὸν ἐλλάμψεως· οὕτω τῷ μὴ μένειν ἀεὶ ἐν τῇ ἀγνοίᾳ, ὑπερέχει ζώων ἀλόγων, καὶ φυτῶν, καὶ ὅλης τῆς περιγείου, καὶ θνητῆς φύσεως ἀναβέβηκε κατ' οὐσίαν, ὡς ἐπιστρέφειν πρὸς τὸν θεὸν πεφυκὼς, καὶ ἀναμνήσει τὴν λήθην ἀφανίζειν, καὶ διδασκαλίᾳ προσλαμβάνειν ἃ ἀπέβαλε, καὶ τὴν ἄνωθεν φυγὴν τῇ ἀντιστρόφῳ φυγῇ ἰᾶσθαι. προσήκει οὖν τῇ ἀνθρωπίνῃ οὐσίᾳ γνῶναι τὴν σύστασιν τῶν ἀθανάτων θεῶν, θνητῶν τ' ἀνθρώπων· τουτέστι τῶν λογικῶν γενῶν τὴν διάταξιν. ΓΝΩΝΑΙ ΔΕ ΚΑΙ ΤΗΝ ΦΥΣΙΝ ΤΗΝ ΠΕΡΙ ΠΑΝΤΟΣ ΟΜΟΙΗΝ, τουτέστι, τὴν σωματικὴν οὐσίαν τὴν ἄνωθεν μέχρι τῶν τελευταίων δι' ἀναλογίας καὶ ἐμφάσεως θείας κοσμηθεῖσαν. ΓΝΩΝΑΙ δὲ ταῦτα πάντα Η ΘΕΜΙΣ ΕΣΤΙ, νόμος ὡς διάκειται, οὕτως, ὡς ὑπέστη παρὰ τοῦ θεοῦ, καὶ ὃν τρόπον τοῖς ἐκείνου νόμοις ἐστὶ διατεταγμένα, εἴτε σώματα, εἴτε ἀσώματα.

similitudine quidem ad id, quod præstantius est, duci idoneus; sed natura tamen diis immortalibus, ipsisque adeò Heroibus illustribus, tanquam primas in mundo, atque medias occupantibus, inferior. Vt autem istis ideò minor est, quòd non semper intelligit; sed ignoratione aliquando, suæque ipsius etiam naturæ, atque lucis, quæ diuinitus in eum labitur, obliuione capitur: sic bruta etiam, & plantas, totámque adeò terrenam, mortalemque naturam, essentia sua ideò superat, quòd non semper in ignoratione hæreat; tanquam natura id habeat, vt ad Deum cõuerti queat, & recordatione obliuionem pellere; doctrina deinde ea recuperare, quæ amisit; fugæ denique rerũ supernatum fuga mederi contraria. Decet ergo mortales NOSSE Deorum immortalium, atque hominum, constitutionem; id est, generum ratione vtentium distinctionem, atque ordinem. NOSSE præterea NATVRAM IN VNIVERSO IPSO SIMILEM; id est, corpoream substantiam; in qua, ducto à superioribus principio, ad vltima vsque, diuinæ similitudinis relucet imago. Verùm ita NOSSE ista omnia, VT LICET: nimirum,

——— Sicuti lex est data cuique; id est, vt sunt à Deo edita; & legib⁹ ipsi⁹ ordinata; siue corpora existãt, siue corporis expertia.

De vtrisque siquidem communiter, quod NOSSE dixit oportere QVATENVS FAS EST, intelligendum est: haud enim decet nos nostris sine ratione cupiditatibus indulgendo, rerum dignitatem ad id torquere, quod placet: sed veritatis limites sectando, NOSSE omnia, QVATENVS FAS EST; eoque modo, quo lex opificis singula distinxit. Confert porrò diuini operis duplex ista cognitio (corporeorum scilicet, atque incorporeorum) beneficium maximum; VT NEQVE SPERENTVR QVAE SPERANDA NON SVNT, NEQVE VLLA IGNORENTVR. Eo ipso enim quod rerum natura IGNORATVR, accidit; vt EA etiam SPERENTVR, QVAE SPERANDA NON SVNT; & agitentur rursum, quæ fieri non possunt. vt, si quis, cùm HOMO sit, immortalium Deorum naturam, vel heroum illustrium SPERET: nescit iste quibus terminis NATVRA distinguatur: neque rursum, quæ prima in rebus, quæ media, & quæ vltima. Et rursum; si quis animum suum cum mortali corpore, ignoratione immmortalitatis, quæ inest animis nostris, arbitratur interire: ea expectat, quę nec debent fieri, nec possunt. Similiter etiam, qui feræ corpus induturum se SPERAT; & fore, vt malitiâ rationis expers animal euadat;

κοινοῦ γὰρ ἐπ' ἀμφοτέρων τῶν ποιήσεων τὸ ΓΝΩΝΑΙ δεῖ, Η ΘΕΜΙΣ ΕΣΤΙΝ, ἀκουστέον. οὐ γὰρ ἀλογίστου προθυμίας ἑκόντας μεταφέρειν δεῖ τὴν ἀξίαν τῶν πραγμάτων πρὸς τὸ ἡμῖν δοκοῦν· ἀλλὰ τοῖς τῆς ἀληθείας ὅροις ἑπομένους ΓΙΝΩΣΚΕΙΝ ΤΑ ΠΑΝΤΑ ΟΝΤΑ, Η ΘΕΜΙΣ ΕΣΤΙ, καὶ ὡς ὁ τῆς δημιουργίας θεσμὸς ὥρισεν ἕκαστα. ἐκ δὲ τούτων τῶν δύο ΓΝΩΣΕΩΝ, τῆς περὶ τὴν ἀσώματον ποίησιν τοῦ θεοῦ, καὶ τῆς περὶ τὴν σωματικὴν, κάλλιστον ἐπανθεῖ πέρασμα, τὸ ΜΗΤ' ΑΕΛΠΤ' ΕΛΠΙΖΕΙΝ, ΜΗΤΕ ΤΙ ΛΗΘΕΙΝ. ἐκ γὰρ τοῦ λανθάνειν ἡμᾶς τὴν οὐσίαν τῶν πραγμάτων, ἐπιγίνεται καὶ τὸ ΑΕΛΠΤ' ΕΛΠΙΖΕΙΝ, καὶ τὸ ἀδύνατα προσνοεῖν. οἷον εἴ τις ἄνθρωπος ὢν, τῶν ἀθανάτων θεῶν ΕΛΠΙΖΕΙ γενέσθαι, ἢ τῶν ἀγαυῶν ἡρώων· οὗτος οὐκ οἶδε ὅροις τῆς ΦΥΣΕΩΣ, ὅτι τῶν λόγων πρῶτα, καὶ μέσα, καὶ ἔσχατα διεστείλατο. καὶ πάλιν, εἴ τις ἑαυτοῦ ψυχὴν συναποθνήσκειν οἴεται τῷ θνητῷ σώματι, ἀγνοίᾳ τῆς προσούσης ἀθανασίας τῇ ἡμετέρᾳ ψυχῇ, προσδοκᾷ ἃ μὴ δεῖ, μηδὲ οἷόν τε γενέσθαι. ὁμοίως δὲ καὶ ὁ θανὼν μετεμφιάσασθαι σῶμα ΕΛΠΙΖΩΝ, καὶ ζῶον ἄλογον γενέσθαι διὰ κακίαν,

ἢ καὶ φυτὸν δι' ἀργίαν αἰσθήσεως· καὶ ὥσπερ ἀντιστρόφως τοῖς εἰς τὰ ἄνω γένη μεταβάλλουσι τὴν τοῦ ἀνθρώπου οὐσίαν, πρὸς τὰ κάτω αὐτὴν συνωθεῖ πεπλανημένος, καὶ ἀγνοῶν τὸ ἀμετάβλητον τοῦ κατ' οὐσίαν ὑπάρχοντος εἴδους τῇ ἀνθρωπίνῃ ψυχῇ. ἀεὶ γὰρ μένουσα ἄνθρωπος, τῇ τῆς ἀρετῆς, καὶ κακίας ἀνὰ μέρος κλήσει, Θεός, ἢ θηρίον γίνεσθαι λέγεται· φύσει δὲ οὐδέτερον, ἀλλὰ σχέσει τῆς πρὸς ἑκάτερον ὁμοιώσεως. καὶ ὅλως ὁ τὴν προσοῦσαν ἀξίαν ἑκάστῳ τῶν ὄντων μὴ εἰδώς, ἀλλ' εἴ τι ὑπερβάλλων αὐτῆς, ἢ ἐλλείπων, τὴν ἄγνοιαν ταύτην ἀφορμὴν τῆς ὑποκένου δόξης, καὶ ΑΕΛΠΤΟΥ ΕΛΠΙΔΟΣ πεποίηται. ὁ δὲ ἐν τοῖς δημιουργικοῖς μέτροις ἕκαστα ἀφορίζων, καὶ ΓΙΓΝΩΣΚΩΝ τὰ ὄντα, Η γέγονε, καὶ παραμετρῶν τὸν θεὸν τῇ ἑαυτοῦ ΓΝΩΣΕΙ· ὥσπερ τὸ Ἕπου θεῷ μάλιστα τηρεῖ, καὶ τὸ Ἄριστον μέτρον οἶδε, καὶ τῆς ἀνεξαπατήτου ἀπάτης τυγχάνει.

54 ΓΝΩΣΗ Δ' ΑΝΘΡΩΠΟΥΣ ΑΥ-
ΘΑΙΡΕΤΑ ΠΗΜΑΤ' ΕΧΟΝΤΑΣ,
55 ΤΛΗΜΟΝΑΣ, ΟΙΤ' ΑΓΑΘΩΝ
ΠΕΛΑΣ ΟΝΤΩΝ ΟΥΤ' ΕΣΟΡΩ-
ΣΙΝ,

aut planta, sensus ignauia: idem quoque cõtraria illis ratione, qui hominis naturam, in superiora genera commutāt, eam trudit ad inferiora deceptus & ipse, atque ignarus formę essentialis, quam habet hominis animus mutationis expertem. Semper enim homo permanens, virtutis atque vitij vicaria possessione, Deus, aut fera, fieri dicitur; cùm natura neutrum existat; sed similitudinis habitudine cũ vtroque. Et re vera, qui singulorum quæ sunt, præstantiã ignorat: sed ipsam vel superat in aliquo; vel nõ assequitur; vanę sibi opinionis, aut FALSAE SPEI occasionẽ istam amplectitur. Qui verò de singulis ita sentit atque iudicat, vt sunt ab opifice edita; quique præterea cognoscit quæ existunt, qua ratione facta sunt; qui Deum denique sui ipsius COGNITIONE metitur: ille maximè & Deum sequitur, quod iubetur; & mensuram nouit optimam; nec fraude vlla vinci potest, atque superari.

54 NOVERIS ETIAM HOMINES SPONTE MALA AMPLECTI, 55 MISEROS: VICINA'QVE BONA NEC VIDERE,

Noris mortales sponte in sua damna mentes;
Infelix, stultúmque genus: quod commoda præsens

56 NEC AVDIRE. PAVCOS DEINDE EXISTERE, QVI MALIS NORINT LIBERARE. 57 SORTEM HVIVSMODI MORTALIVM MENTES VEXARE: 58 QVI INFINITA DAMMNA PATIENTES CYLINDRIS AGANTVR AD ALIA ATQVE ALIA. 59 EXITIOSAM ENIM CONTENTIONEM COMITEM, 60 CONGENITAM ILLIS ESSE, QVAE NON ANIMADVERSA DAMNVM INFERAT; QVAM MINIME DECET PROVOCARE; SED CEDENTES FVGERE.

Non oculis, nō aure capit, raróq; medetur.
Sic miseris sors mētē agitat: variisq; cylīdris
Huc illuc rotat, immensis versátq; periclis.
Hoc comes improuisa ciet cōtētio damnum
Insita; cui certare nefas, sed cedere pulchrū.

Corporeorū, atq; incorporeorū generū ordine rectè perspecto; sequitur, vt HOMINIS naturā exactè COGNOSCAMVS; qualibúsq; sit, & quib⁹ obiecta perturbationib⁹: vti deĭde medio loco posita inter ea iaceat, quæ nunquā prolabuntur in vitia, & quibus ad virtutem fieri natura negatum est: vnde fit, vt in vtraque propēdeat; ibíq; aliquādo intelligibilē vitę felicitatē sequatur; hîc autem sępe affectionū sensus amplectatur. qua ratione nō malè quoque cēsuit Heraclit⁹; cū nos illorū mortē viuere, mori autē istorū vitā pronūtiauit. fertur enī homo deorsū, & felici regione excidit; cū, vt inqt Pythagore⁹ Empedocles

56 ΟΥΤΕ ΚΛΥΟΥΣΙ· ΛΥΣΙΝ ΔΕ ΚΑΚΩΝ ΠΑΥΡΟΙ ΣΥΝΙΣΑΣΙ. 57 ΤΟΙΗ ΜΟΙΡΑ ΒΡΟΤΩΝ ΒΛΑΠΤΕΙ ΦΡΕΝΑΣ· ΟΙ ΔΕ ΚΥΛΙΝΔΡΟΙΣ 58 ΑΛΛΟΤ' ΕΠ' ΑΛΛΑ ΦΕΡΟΝΤΑΙ ΑΠΕΙΡΟΝΑ ΠΗΜΑΤ' ΕΧΟΝΤΕΣ. 59 ΛΥΓΡΗ ΓΑΡ ΣΥΝΟΠΑΔΟΣ ΕΡΙΣ ΒΛΑΠΤΟΥΣΑ ΛΕΛΗΘΕ, 60 ΣΥΜΦΥΤΟΣ, ΗΝ ΟΥ ΔΕΙ ΠΡΟΣΑΓΕΙΝ, ΕΙΚΟΝΤΑ ΔΕ ΦΕΥΓΕΙΝ.

Τῆς τῶν ἀσωμάτων καὶ σωματικῶν φύσεων καλῶς γνωσθείσης διατάξεως, ἕπεται καὶ τὴν ΑΝΘΡΩΠΟΥ οὐσίαν ἀκριβῶς ΓΝΩΡΙΖΕΣΘΑΙ, οἵα τε οὖσα τυγχάνει, καὶ οἵων δεκτικὴ παθημάτων· καὶ ὅτι ἐν μεθορίῳ οὖσα τῶν τε ἀπτώτων εἰς κακίαν, καὶ τῶν πρὸς ἀρετὴν οὐ πεφυκότων ἀνάγεσθαι· διὸ καὶ ἐπαμφοτερίζει ταῖς σχέσεσιν, ὅτε μὲν ἐκεῖ ζῶν τὴν νοερὰν εὐζωΐαν, ὅτε δὲ ἐνταῦθα τὴν αἰσθητικὴν ἐμπάθειαν προσλαμβάνων· ἔνθα καὶ λέγεται ὀρθῶς ὑπὸ Ἡρακλείτου, ὅτι ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον. κάτεισι γὰρ καὶ ἀποπίπτει τῆς εὐδαίμονος χώρας ὁ ΑΝΘΡΩΠΟΣ, ὡς Ἐμπεδοκλῆς φησὶν ὁ Πυθαγόρειος,

— Φυγὰς θεόθεν, καὶ ἀλήτης
Νείκεϊ μαινομένῳ πίσυνος. —

ἄνεισι δὲ, καὶ τὴν ἀρχαίαν ἕξιν ἀπολαμβάνει, εἰ φεύγει τὰ περὶ γῆν, καὶ τὸν ἀτερπέα χῶρον, ὡς αὐτὸς λέγει,

Ενθα φόνος τε, κότος τε, καὶ ἄλλων ἔθνεα κηρῶν·

εἰς ὃν οἱ ἐκπεσόντες, ἄτης

— ἀνὰ λειμῶνα τε καὶ σκότος ἠλάσκουσιν.

ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς ἄτης λειμῶνα, πρὸς τὸν τῆς ἀληθείας ἐπείγεται λειμῶνα, ὃν ἀπολειπὼν, τῇ ὁρμῇ τῆς πτερορρυήσεως εἰς γήϊνον ἔρχεται σῶμα ὀλβίου, — αἰῶνος ἀμερθείς. τούτοις δὲ καὶ ὁ Πλάτων ἐστὶ σύμφωνος περὶ μὲν τῆς καθόδου ταυτὶ λέγων· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη πτερορρυήσῃ τε, καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος αὐτὴν εἰς ζῷον θνητὸν εἰσοικίζεσθαι. περὶ δὲ τῆς ἀνόδου ταῦτα· ὅτι τὸν * προσφυόντα ὕστερον ἐκ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρὸς θορυβώδη, καὶ ἄλογον ὄντα λόγῳ κρατήσας ὁ ἄνθρωπος, εἰς τὸ τῆς προτέρας καὶ ἀρίστης ἀφικνεῖται εἶδος ἕξεως. ὅτι καὶ εἰς ξυνόνομον ἄστρον ἄγεται ὑγιὴς καὶ ὁλόκληρος γενόμενος. ὑγιὴς μὲν τῇ τῶν παθῶν, ὡς νοσημάτων ἀπαλλαγῇ· ὁ δὲ διὰ τῆς πολιτικῆς ἀρετῆς

* ὄχλον

——— Diuinitùs exſul, & errans,
Lite furente agitur. ———

Sed reuertitur, atq; primũ habitũ reſumit;
Terrea ſi fugiens, triſtẽ diſpexerit oram;
vt idem ait;
Quò cædéſque, iræque, & cętera turba malorum.
in quam qui ceciderint, Atæ
——per pratum, tenebráſque vagantur.

Deſiderium autem fugientis Atæ pratum ad veritatis pratum properè deducit; eoque relicto, pennarum defluentium impetu in terrenum corpus venit, felicis
——priuatus munere vitæ.

Neque verò iſtis ſunt diſſentanea, quæ Plato de deſcenſu loquitur, hoc modo; Si verò aſſequendi impotens (animus) Deum, minimè viderit, & damnum paſſus aliquod, pennarumque defluuium, in terram etiam labatur; tum lex ipſum iubet in mortale animal induci. De aſcenſu autem iſta; hominem poſtea, cùm illa ratione ſuperauerit, quæ ſibi ex terra, aqua, aëre, & igne turbulenta, & rationis expertia inſederint; ad prioris, atque optimi habitus formam rediturum. Eſſe præterea ad aſtrum, quocum aptum fuerat, ſanum, atque integrum reuerſurum. Sanum quidem; quia perturbationibus, tanquã morbis, liberatũ: quod virtute politica

efficitur:integrum autem; scientiæ, tanquã propriarum partium, recuperatione: quod contemplatiua virtute fieri natura comparatum est. Docet præterea apertè, eorũ auersione, quæ hîc sunt, meliorum iacturam, quàm ab illis recedentes fecimus, esse sarciendam: dum malorum fugam, quę hîc habentur, sapientiæ studium esse definit. Esse enim homines solos morbis istis natura obnoxios significat: immò, nec perire mala posse; nec in dijs existere; sed in his locis, circáque naturam humanã versari necessariò. Sequitur enim, vt qui ortui, atque interitui, penitus sunt obnoxij, affici etiam pręter naturam valeant; in quo malorum principium situm est. Cæterùm quo pacto ista fugere oporteat, subiungit; cùm inde eò confugere oportere dicit. Fugam autẽ, similitudinem cum Deo, quatenus fas est, existere: similitudinem verò; iustitiam, sanctitatem cum prudentia adipisci. Decet enim in primis humanam naturam eum auersari, qui mala cupiat euitare: cùm non possint qui cum illa commiscentur, non malis illis impleri necessariò, quæ ipsam sequuntur. Vt igitur fuga à Deo, & pennarum defluuio, quibus ad superiora ipsi attollebamur, in mortalium locum, quos mala comitantur, decidimus: sic certè humanarum affectionum reiectione ipsáque etiam virtutum, tanquam pennarũ quarũdã productione, ad

παραγίνεται· ὁλόκληρος δὲ τῇ τῆς ἐπιστήμης, ὡς οἰκείων μερῶν, ἀναλήψει· ὃ διὰ τῆς θεωρητικῆς ἀληθείας κατορθοῦσθαι πέφυκε· καὶ πάλιν, ὡς δέοι τῇ ἐντεῦθεν φυγῇ τὴν ἀπὸ τῶν κρειττόνων γενομένην ἀπόστασιν ἐξιᾶσθαι, σαφῶς παρίστησι, φυγὴν τὴν τῇ δὲ κακῶν φιλοσοφίαν ὁριζόμενος. συμπεφυκέναι γὰρ τὰ πάθη μόνοις τοῖς θνητοῖς ἀποφαίνεται διὰ τούτων· ἀλλ᾽ οὐδὲ ἀπολέσαι τὰ κακὰ δυνατὸν, οὔτε ἐν θεοῖς εἶναι, περὶ δὲ τόνδε τὸν τόπον, καὶ τὴν θνητὴν φύσιν περιπολεῖν ἐξ ἀνάγκης. τοῖς γὰρ ἐν γενέσει καὶ φθορᾷ πάντως που καὶ τὸ παρὰ φύσιν διατεθῆναι δύνασθαι παρέπεται, ὅπερ ἐστὶ τῶν κακῶν ἀρχή. πῶς δὲ δεῖ ταῦτα φυγεῖν ἐπάγει. διὸ δεῖ ἐνθένδε ἐκεῖσε φυγεῖν. φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ὁμοίωσις δὲ, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. τὸν γὰρ ἀποδρᾶναι βουλόμενον τὰ κακὰ, τὴν θνητὴν φύσιν πρῶτον ἀποστραφῆναι δεῖ. οὐ γὰρ οἷόν τε ταύτῃ συμπεφυρμένους μὴ καὶ τῶν ἑπομένων αὐτῇ κακῶν ἐξ ἀνάγκης ἀναπίμπλασθαι. ὥσπερ οὖν ἡ θεόθεν φυγὴ, καὶ ἡ πτεροῤῥύησις τῶν κουφιζόντων ἡμᾶς πρὸς τὰ ἄνω εἰς τὸν τῶν θνητῶν ἤνεγκε τόπον, οἷς τὰ κακὰ συνεισέρχεται· οὕτως οὖν ἡ τῆς θνητῆς προσπαθείας ἀποβολὴ, καὶ ἡ τῶν ἀρετῶν, οἷον πτερῶν τινῶν ἔκφυσις πρὸς

τὸν τῶν καλῶν καθαρὸν τόπον, εἰς τὴν θείαν ἐυζωΐαν ἡμᾶς ἀνάξει· μέση γὰρ οὖσα ἡ τοῦ ἀνθρώπου οὐσία τῶν τε ἀεὶ νοούντων τὸν θεὸν, καὶ τῶν μηδέποτε νοεῖν πεφυκότων, ἄνεισι πρὸς ἐκεῖνα, καὶ κάτεισι πρὸς ταῦτα, νοῦ κλήσει, καὶ ἀποβολῇ πρὸς τὴν θείαν ὁμοίωσιν καὶ τὴν θήρειον, διὰ τὸ τῆς φύσεως ἀμφίβιον ἀνάμερος οἰκειουμένη. ταῦτ' οὖν ὁ περὶ τῆς ΑΝΘΡΩΠΙΝΗΣ ΕΓΝΩΚΩΣ οὐσίας, οἶδε πῶς ΑΥΘΑΙΡΕΤΑ ΠΗΜΑΤ' ΕΧΟΥΣΙΝ ΟΙ ΑΝΘΡΩΠΟΙ, καὶ πῶς ΤΑΛΗΜΟΝΕΣ, καὶ τάλανες τῶν ἑαυτῶν αἱρέσεσι γίνονται. ποτὲ γὰρ ἔτι δυνάμενοι μένειν ἐκεῖ, προπετείᾳ ὁρμῆς εἰς γένεσιν κατασύρονται. ποτὲ δὲ δυνάμενοι θᾶττον ἐντεῦθεν ἀπολύεσθαι, αὐτοὶ ἑαυτοῖς ταῖς ἀπειρομυνίαις τῶν παθῶν καταπλέκουσι. καὶ τοῦτο ἐστὶ τὸ τῶν ΑΓΑΘΩΝ ΠΕΛΑΣ ΟΝΤΩΝ ΜΗΤΕ ΟΡΑΝ, ΜΗΤΕ ΑΚΟΥΕΙΝ, ἵνα ΑΓΑΘΑ μὲν ἀρετὴ, καὶ ἀλήθεια νῦν λέγηται. τὸ δὲ ΜΗ ΟΡΑΝ ΠΕΛΑΣ ΟΝΤΑ, τὸ μὴ δι' ἑαυτοῦ ἀνακινεῖσθαι πρὸς εὕρεσιν τῶν καλῶν· καὶ τὸ ΜΗ ΑΚΟΥΕΙΝ, τὸ ταῖς παρ' ἄλλων διδασκαλίαις μὴ ὑπήκοον γίνεσθαι. διπλῆ γὰρ ἡ τῆς ἐπιστήμης ἀνάληψις· ἢ διὰ μαθήσεως,

purum bonorum locum, diuinamque fœlicitatem aſcendemus. Cùm enim media iaceat hominis natura inter eos, qui Deum ſemper contemplantur; & quibus id natura negatum eſt: eadem aſcendit ad illa; & deſcendit ad iſta, mentiſque poſſeſſione atque reiectione, diuinam ſimilitudinem, atque belluinam, propter naturæ propenſionem ad vtramque, viciſſim induit. Qui igitur iſta de HOMINIS NATVRA PERSPECTA HABEAT; nouit idem, cur dicantur homines SPONTE MALA AMPLECTI: cur etiam INFELICES, & miſeri ſuis ipſorum conſiliis euadant. Cùm enim aliàs adhuc ibi manere queant; deſiderij pernicitate ad ortum pertrahuntur. Aliàs etiam cùm hinc valeant ſoluere maturiùs, ipſi ſe perturbationum curis, atque inuolucris implicant. Atque illud eſt, quod ſignificare voluit, cùm VICINA BONA NEC VIDERE, NEC AVDIRE dixit: vt BONORVM nomine, virtutem atque veritatem intellexiſſe videatur: eo autem, quòd NON VIDERE, QVAE VICINA ſunt; per ſe non incitari ad quærenda honeſta: quòd deinde NON AVDIRE; monentium doctrinæ nequaquam attendere. Eſt enim ſcientiæ reparandæ via duplex. Aut diſciplinæ

tanquam AVDITVS: aut inuentionis; tanquam VISIONIS. SPONTANEA igitur DAMNA PATI dicuntur, qui neque ab alijs discere, neque per se inuenire studentes, tanquam bonorum sensu carentes manent, & ob id prorsus inutiles. Qui enim neque per se sapit; neque alio monente animum aduertit, ipse etiam homo est inutilis. Qui autem in discendo, atque inueniẽdo quæ honesta sunt, operam collant; ij sunt, qui se MALIS NORVNT LIBERARE; quique laborum fuga, quos hic patimur, ad liberum æthera commigrant. Sed pauci sunt eiusmodi. Sunt enim mali permulti, & perturbationibus inferiores; immò & vecordes assidua in terram propensione: qui hoc mali sibi ideò videntur peperisse, quòd à Deo fugere, seque ab ipsius familiaritate, qua tum fruebantur, cùm in pura luce degerent, subtrahere voluerunt. Discessum enim à Deo, qui mentem conturbet, atque lædat, ipsa arguit in terram propensio. Non potest siquidem vel non insanire, qui Deo vacuus sit; vel Deo vacuus non esse, qui in dementiam inciderit. Est enim necesse & dementem Deo carere; & Deo carentem insanire. Vtrique autem, tanquam bonorum studio

ὡς δι' ἀκοῆς· ἢ δι' εὑρέσεως, ὡς δι' ὀρέξεως. ΑΥΘΑΙΡΕΤΑ οὖν ΠΗΜΑΤΑ ΕΧΕΙΝ λέγονται οἱ μήτε μανθάνειν παρ' ἄλλων, μήτε εὑρίσκειν δι' ἑαυτῶν ἐθέλοντες, ὡς τῆς συναισθήσεως τῶν ἀγαθῶν ἀμοιροῦντες, καὶ διὰ τοῦτο πάντη ἀχρεῖοι. ὃς γὰρ ἂν μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου λέγοντος ἐν θυμῷ βάλληται, ἐκεῖνος δ' αὖτ' ἀχρήϊος ἀνήρ. οἱ δὲ περὶ τῶν ἀγαθῶν μανθάνειν τε καὶ εὑρίσκειν ἔργον πεποιημένοι, οὗτοι εἰσὶν οἱ τῶν ΚΑΚΩΝ ΤΗΝ ΛΥΣΙΝ ΣΥΝΙΕΝΤΕΣ, καὶ φυγῇ τῶν τῇδε πόνων εἰς τὸ ἐλεύθερον αἰθέρα μετοικιζόμενοι. ΟΛΙΓΟΙ δέ εἰσιν οἱ τοιοῦτοι· οἱ γὰρ πλεῖστοι κακοί, καὶ τῆς προσπαθείας ἥττους, καὶ φρενοβλαβεῖς ὑπὸ τῆς εἰς γῆν νεύσεως γινόμενοι, ὡς καὶ τοῦτο παρ' ἑαυτῶν τὸ ΚΑΚΟΝ ἔχειν, διὰ τὸ βουληθῆναι φυγεῖν ἀπὸ θεοῦ, καὶ ἀποικίσαι αὐτοὺς τῆς τούτου ὁμιλίας, ἧς εὐτύχουν ἐν αὐγῇ καθαρᾷ διάγοντες. τὸν γὰρ ἀπὸ θεοῦ χωρισμὸν ΒΛΑΠΤΟΝΤΑ ΤΑΣ ΦΡΕΝΑΣ ἡ πρὸς γῆν νεῦσις δηλοῖ· οὐ γάρ ἐστιν ἢ μὴ ἀνοηταίνειν τὸν τοῦ θεοῦ γινόμενον ἔρημον· ἢ μὴ ἔρημον εἶναι θεοῦ τὸν εἰς ἄνοιαν ἐκπεσόντα. τὸν γὰρ ἀνόητον ἀνάγκη καὶ ἄθεον εἶναι, καὶ τὸν ἄθεον ἀνόητον. ἀμφότεροι δέ, ὡς μὴ πρὸς τὸν ἔρωτα τῶν καλῶν

ἐγηγερμένοι ΑΠΕΙΡΟΝΑ ΠΗΜΑΤ' ΕΧΟΥΣΙΝ, οἷον ΚΥΛΙΝΔΡΟΙΣ ταῖς καταγώγοις πράξεσιν ΑΛΛΟΤΕ ΑΛΛΟΙΣ ΚΑΚΟΙΣ συμφερόμενοι, καὶ μὴ ἔχοντες ὅ,τι χρήσονται ἑαυτοῖς, διὰ τὸ πάσαις ταῖς τύχαις ἀπαιδεύτως προσφέρεσθαι· νῦν μὲν ἐξυβρίζοντες ἐν πλούτῳ, νῦν δὲ ἐν πενίᾳ κακουργοῦντες, καὶ πρὸς λῃστείαν μὲν ὑπὸ ῥώμης σώματος ἐκφερόμενοι, πρὸς δὲ βλασφημίαν ὑπὸ ἀσθενείας καὶ νοσημάτων, τήν τε ἀπαιδίαν ὀδυρόμενοι, καὶ τὴν πολυπαιδίαν ἀφορμὴν πολέμων καὶ αἰσχροκερδείας ποιούμενοι. καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἔστι τι ἐν τῷ βίῳ, ὃ μὴ πρὸς κακοῦ τοῖς ἀνοήτοις γίνεται, πανταχόθεν στενοχωρουμένοις ὑπὸ τῆς ΑΥΘΑΙΡΕΤΟΥ κακίας, καὶ τοῦ μὴ ΑΝΑΒΛΕΠΕΙΝ πρὸς τὸ θεῖον φῶς, μηδὲ ΕΠΑΙΕΙΝ ἐθέλειν τῶν ὄντως ἀγαθῶν· ἀλλὰ καταδεδυκότας εἰς τὴν θνητὴν προσπάθειαν, ὡς ἐν κλύδωνι τῷ βίῳ φέρεσθαι. τούτων δὲ ΛΥΣΙΣ μία ἡ πρὸς θεὸν ἐπιστροφή, ἣν ἐξευρίσκουσιν οἱ τὸ ΟΜΜΑ τῆς ψυχῆς, καὶ τὸ ΟΥΣ πρὸς τὴν τῶν ἀγαθῶν ἀνάληψιν ἐπεγείροντες, καὶ τὸ παρεπόμενον τῇ οὐσίᾳ ἡμῶν ΚΑΚΟΝ τῇ ἀναγωγικῇ δυνάμει θεραπεύσαντες. ἣν δὲ ΣΥΜΦΥΕΣ ἅμα, καὶ ἐπίκλητον ἡμῖν

nequaquam excitati, INNVMERA DAMNA PATIVNTVR; facinoribus deorsum rapientibus, TANQVAM CYLINDRIS AD ALIA ATQVE ALIA delati; nec habentes in quo seipsis vtantur, qui in omni fortuna se gerant intemperanter: nunc quidem propter opes contumeliosi; nunc veró penuria rerum improbi; & ad latrocinia corporis viribus, ad blasphemias autem earundem imbecillitate, atque morbis, conuersi; liberorum præterea orbitatem molestè ferentes; eorum autem numerum, si copiosus sit, bellorum prætextum, atque sordium, facientes. Denique vt semel dicam; nihil est in vita, quod amentibus in damnum non cedat, qui SPONTANEAE malitiæ angustijs premantur vndique: neque ad lucem diuinam INTENDANT OCVLOS; neque ea AVDIRE velint, quæ verè bona sunt: sed ita in mortales affectiones ruant; vt in vita tanquam procella rapiantur. At istorum vna LIBERATIO est, reversio ad Deum; quam soli nanciscuntur, qui animi OCVLVM, atque AVREM, ab bonorum recuperationem excitãt; quiq́, malo, quod naturam nostrã comitatur, ea virtute medẽtur, quæ ad superiora deducit. Est verò nobiscum NATVM SIMVL, & studio nostro accersitum

MALVM, liberæ voluntatis motus præter naturam; per quem cum diuinis legibus CONTENDERE, eísque aduersari audemus; nihil aduertentes quantùm eo ipsi LAEDAMVR, quòd Deo repugnare non dubitemus; hoc tantum, cæcorum more VIDENTES, quòd illius placita spernere potuimus. Est præterea in eo liberæ voluntatis multa, & nimia licentia; quòd à Deo recedere non dubitat, & PERNITIOSAM CONTENTIONEM aduersus eum amplecti; qua pertinaciter cum eo ratione quadam libenter decertamus; cùm vetante illo istud committere, hoc ipsum maximè volumus efficere; & rursum; cùm, iubente eodem fieri aliquid, parere recusamus: vt miseria se vtrinque illi cumulent, qui diuinam legem prætergrediuntur, dum ea non faciunt, quæ iubentur; & faciũt quæ vetantur. Quid ipsi igitur aduersus EXITIOSVM istum COMITEM simul, atque CONGENITVM, CONTENTIONEM nomine, inueniemus; quæ ab eo, quod est in nobis prẹter naturã dipositum, excitatur; & quæ ideò hoc habet à natura, vt tanquã malũ domesticũ, SENSIM SINE SENSV DAMNVM INFERAT? quid isti decet opponere? quòd nã —insanæ litis reperire iuuamen? quod deorsũ agentis potestatis impedimẽtũ, nisi vt ista agamus, meditemur, amemus,

ΚΑΚΟΝ ἡ τοῦ αὐτεξουσίου παρὰ φύσιν κίνησις, καθ' ἣν ΕΡΙΖΕΙΝ τι καὶ ἐναντιοῦσθαι τοῖς θείοις νόμοις πειρώμεθα, οὐδὲν ἐπαισθανόμενοι ὅσον ἑαυτοὺς βλαπτόμεθα, διὰ τοῦ δοκεῖν ἀντιτείνειν θεῷ. ἀλλὰ μόνον τοῦτο τυφλῶς ΟΡΩΝΤΕΣ, ὅτι ἐδυνήθημεν ἀφηνιάσαι τῶν ἐκείνου θεσμῶν. καὶ τοῦτο ἣν τὸ πολλῷ τῷ αὐτεξουσίῳ χρήσασθαι, καὶ ἀμέτρῳ, τὸ τολμᾶν ἀφίστασθαι θεοῦ, καὶ τὴν ΛΥΓΡΑΝ ΕΡΙΝ πρὸς αὐτὸν ἀναδέχεσθαι, καθ' ἣν ΕΡΙΖΟΜΕΝ τρόπον τινὰ καὶ φιλονεικοῦμεν ἐκείνου λέγοντος, μὴ ποιήσῃς τόδε, τοῦτο αὐτὸ μάλιστα ποιεῖν ἐθέλειν. καὶ πάλιν αὖ, εἰ ἐκεῖνος λέγοι, ποίησον τόδε, αὐτὸ τοῦτο μὴ ποιεῖν, ἵνα ἑκατέρωθεν τῆς ἀθλιότητος ἑαυτοὺς πληρώσωσιν οἱ τὸν θεῖον νόμον ἐκβαίνοντες τῷ τε μὴ ποιεῖν τὰ προστεταγμένα, καὶ τῷ ποιεῖν τὰ ἀπηγορευμένα. τί οὖν πρὸς τὴν ΛΥΓΡΑΝ ΤΑΥΤΗΝ ΤΗΝ ΣΥΝΟΠΑΔΟΝ ἅμα καὶ σύμφυτον* λεγομένην διευρήσομεν, τὴν ἐκ τοῦ ἐν ἡμῖν παρὰ φύσιν διατεθέντος ἐγγινομένην, καὶ διὰ τοῦτο, ὡς οἰκεῖον ΚΑΚΟΝ, λεληθότως βλάπτειν πεφυκυῖαν; τί πρὸς αὐτὴν ἀντιτιθέναι δεῖ; τί τοῦ

—Μαινομένου νείκεος ἄκος εὑρεῖν;

ἢ τῆς καταγωγοῦ δυνάμεως ῥῆμα, ἢ τὸ πονεῖν ταῦτα, καὶ ἐπιμελεῖν, καὶ ἐν ἔρωτι τίθεσθαι,

* ΕΡΙΝ

γρ. ἔρημα

ἀπὸ τῆς θείας ἀρετῆς εἰς ἴχνια θήσει; ταῦτα γὰρ ἡ ΛΥΣΙΣ ΤΩΝ ΚΑΚΩΝ, ἣν οἱ ΠΑΥΡΟΙ ΣΥΝΙΣΑΣΙ· ταῦτα ἡ ΤΩΝ ΠΕΛΑΣ ΟΝΤΩΝ ΑΓΑΘΩΝ ΑΚΟΗ ΚΑΙ ΟΨΙΣ· ταῦτα ἡ τῶν ΑΥΘΑΙΡΕΤΩΝ ΠΗΜΑΤΩΝ ἀπαλλαγή· ταῦτα τῆς ἀπειθείας τῶν παθῶν ἡ τομή. ταῦτα οὖν καὶ τῆς ἀθέου ΕΡΙΔΟΣ ΑΠΟΦΥΓΗ γένοιτ' ἄν, καὶ σωτηρία ψυχῆς, καὶ ἀποκάθαρσις τοῦ μαινομένου νείκους, καὶ ἀνάκλησις τῆς θεόθεν φυγῆς. τὴν γὰρ κατάγωγον ῥοπὴν τῇ ἀναγώγῳ δυνάμει μόνως ἂν ἰασαίμεθα, εἰ μὴ περαιτέρω προσάγοιμεν αὐτήν, μηδὲ ἐπὶ κακοῖς κακὰ συντιθείημεν, ἀλλ' ἐπιπειθεῖς γενόμενοι τῷ ὀρθῷ λόγῳ ΦΕΥΓΟΙΜΕΝ ΤΗΝ ΛΥΓΡΑΝ ΕΡΙΝ, τῇ ἀγαθῇ ΕΡΙΔΙ, οὐ φιλονεικοῦντες ἀπειθεῖν τῷ θεῷ, ἀλλὰ φιλονεικοῦντες ὅτι μάλιστα αὐτῷ πείθεσθαι· ἣν οὐ δεῖ ΕΡΙΝ καλεῖν, ἀλλὰ θεοπαθῆ ὑπακοήν, καὶ ἐπιστροφὴν πρὸς τὸν θεῖον νόμον, καὶ ἑκούσιον ὑπόταξιν τὰς ἀφορμὰς περικόψουσαν τῆς ἀνοήτου ἀπειθείας. ταῦτα γὰρ οἶμαι διὰ τῶν προκειμένων ἐπῶν δηλοῦσθαι· τὸ μὲν τῆς αὐτεξουσίου πονηρίας διὰ τοῦ, ΓΝΩΣΗ Δ' ΑΝΘΡΩΠΟΥΣ ΑΥΘΑΙΡΕΤΑ ΠΗΜΑΤ'

quæ virtutis nos in veſtigia ponant? hæc enim ſunt malorum REMEDIA PAVCIS COGNITA. Hic VICINORVM BONORVM INTVITVS; hic AVDITVS. hæc MALORVM SPONTANEORVM LIBERATIO. Hæc infinitatis perturbationum amputatio. Fuerint ergo iſthæc non impiæ CONTENTIONIS vitatio tantùm; ſed animi ſalus etiam, furentíſque litis purgatio, & exilij à Deo, reuocatio. Propenſionem ſiquidem ad inferiora, ea tantùm virtute ſanare valeamus, quæ ſurſum impellit; ſi illam non vltra pergere patiamur; neque malis mala addamus: ſed rectæ rationi parentes, EXITIOSA CONTENTIONE deuitata, eam quæ bona eſt, amplectamur; non Deo repugnare, ſed illi quammaximè obſequi certantes: quod non licet CONTENTIONIS nomine donare; ſed diuinæ auſcultationis, & conuerſionis ad Dei legem, atque etiam voluntariæ ſubiectionis; quæ ſtultæ incredulitatis cauſſas amputet. Hæc enim arbitror propoſitis verſibus ſignificari: liberæ quidem poteſtatis nequitiam, cùm NOSSE iubet HOMINES SPONTANEA DAMNA

AMPLECTENTES; quos ideò MISEROS atque infelices licet appellare, quòd sponte malitiam sibi adciuerunt: eos autem quæ honesta sunt, nolle AVDIRE, cùm VICINA BONA NEC VIDERE cupere, NEC AVDIRE pronuntiat. Significat porrò SPONTANEIS MALIS posse nos LIBERARI, cùm eorum SOLVTIONEM PAVCIS ESSE COGNITAM ideò interserit; vt cùm LIBERATIONEM penes nos existere demonstrarit, spontè etiam istis nos obstrinxisse clarum sit. Postea adijcit quibus de caussis animis, qui in vitia inciderint, CAECIS esse, atque SVRDIS contigerit; cùm TALEM SORTEM VEXARE HOMINVM MENTES ait. Fit enim, cùm à præstantioribus deficimus, vt amentiam ipsi, temerariámque opinionem sequamur: quod malæ SORTIS nomine intellexit, quæ nos ipsa ad particulare & mortale animal inclinatione, à diuino choro reijcit. Ostendit præterea quænam consilij temeritatẽ sequantur; & quomodo, quæ peccantur, simul voluntate fiant, atque præter voluntatem; dum CYLINDRO in planitie rotato similem facit

ΕΧΟΝΤΑΣ, οὓς ΤΛΗΜΟΝΑΣ δεῖ καλεῖν, καὶ ἀθλίους, ὅτι πρὸς αὐτοπροαίρετον κακίαν εἱλκύσθησαν· τὸ δὲ ΜΗΔΑΜΩΣ τούτους ΕΠΑΙΕΙΝ ΤΩΝ ΚΑΛΩΝ ΕΘΕΛΕΙΝ, διὰ τοῦ λέγειν, ΟΙΤ᾽ ΑΓΑΘΩΝ ΠΕΛΑΣ ΟΝΤΩΝ ΟΥΤ᾽ ΕΣΟΡΩΣΙΝ, ΟΥΤΕ ΚΛΥΟΥΣΙΝ. καὶ ὅτι δυνατὸν ἀπολυθῆναι τῶν ΑΥΘΑΙΡΕΤΩΝ ΚΑΚΩΝ δηλοῖ τό, ΛΥΣΙΝ ΔΕ ΚΑΚΩΝ ΠΑΥΡΟΙ ΣΥΝΙΣΑΣΙΝ, ὃ μεταξὺ παρεμβέβληται, ἵνα τὴν ἐφ᾽ ἡμῖν δείξας τὴν ΛΥΣΙΝ ὑπάρχουσαν, καὶ τὸν δεσμὸν ἐκ τοῦ ἑκουσίου ἠρτῆσθαι μηνύσῃ. εἶτα ἐπισυνάπτει τὴν ΤΥΦΛΟΤΗΤΟΣ, καὶ ΚΩΥΦΟΤΗΤΟΣ ταῖς εἰς κακίαν ἐκπεσούσαις ψυχαῖς αἰτίαν. ΤΟΙΗ ΜΟΙΡΑ ΒΡΟΤΩΝ ΒΛΑΠΤΕΙ ΦΡΕΝΑΣ. εἰς γὰρ ἄνοιαν καὶ ἀπροβούλευτον αἵρεσιν ὁ ἀπὸ τῶν κρειττόνων χωρισμὸς ἄγει, ὃν διὰ τῆς ΛΥΓΡΑΣ ΜΟΙΡΑΣ ἠνίξατο τῆς ποιούσης ἡμᾶς ἔξω θείου χοροῦ τῇ πρὸς τὸ μερικὸν καὶ θνητὸν ζῶον νεύσει. καὶ τὰ ἑπόμενα τῇ ἀβουλίᾳ παραδείκνυσι, καὶ πῶς ἀκούσια ἅμα καὶ ἑκούσια τὰ πλημμελήματα ἐκδιδάσκει τῇ κατ᾽ ἐπιπέδου ΚΥΛΙΝΔΡΙΚΗ κινήσει ἐοικέναι φήσας

τὸν τῶν ἀνοήτων βίον, ὃς κύκλῳ ἅμα καὶ ἐπ' εὐθείας ποτὲ κινεῖται· κύκλῳ μὲν, δι' ἑαυτὸν· ἐπ' εὐθείας δὲ, διὰ τὴν πτῶσιν. ὡς γὰρ ὁ ΚΥΛΙΝΔΡΟΣ οὐ κατακρατεῖ τῆς περὶ τὸν ἄξονα κυκλικῆς περιαγωγῆς ἀπὸ τῆς ὀρθότητος πλαγιασθείς· οὕτως οὐδὲ ψυχὴ τῆς πεύξεως τῶν ὄντως ἀγαθῶν τυγχάνει, τοῦ ὀρθοῦ λόγου, καὶ τῆς πρὸς θεὸν στάσεως ἀποπεσοῦσα· πλανᾶται δὲ περὶ τὰ δοκοῦντα ἀγαθὰ, καὶ ἐκφέρεται ἐπ' εὐθείαις καὶ αἰσθητικαῖς προσπαθείαις ΚΥΛΙΟΥΜΕΝΗ. ὃ διὰ τοῦ ΑΛΛΟΤ' ΕΠ' ΑΛΛΑ ΦΕΡΟΝΤΑΙ ΑΠΕΙΡΟΝΑ ΠΗΜΑΤ' ΕΧΟΝΤΕΣ, παρέστησεν. ἐπειδὴ δὲ τῆς ΦΡΕΝΑΣ ΒΛΑΠΤΟΥΣΗΣ ΜΟΙΡΑΣ, καὶ τοῦ χωρισμοῦ τοῦ ἀπὸ τῶν θείων, αἴτιον ἦν τὸ αὐτεξούσιον κίνημα παρὰ φύσιν διατεθέν· πῶς δεῖ καὶ τοῦτο κατευνάζειν, καὶ πρὸς θεὸν ἐπιστρέφειν διὰ τῶν ἑξῆς δύο στίχων ἐδίδαξε, τὴν μὲν αὐτεξούσιον βλάβην οὕτω καταμηνύσας, ΛΥΓΡΗ ΓΑΡ ΣΥΝΟΠΑΔΟΣ ΕΡΙΣ ΒΛΑΠΤΟΥΣΑ ΛΕΛΗΘΕ ΣΥΜΦΥΤΟΣ· τὴν δὲ αὐτεξούσιον ἴασιν, ΗΝ ΟΥ ΔΕΙ ΠΡΟΣΑΓΕΙΝ, ΕΙΚΟΝΤΑ ΔΕ ΦΕΥΓΕΙΝ· συνορῶν δὲ ὅτι προηγουμένως τῆς παρὰ τοῦ θεοῦ ἐπικουρίας χρῄζομεν πρὸς ἀποφυγὴν μὲν τῶν κακῶν,

insanorum vitam; quæ in orbem simul, & rectà quandoque moueatur. In orbem quidem per se: rectà verò propter lapsum. Vtenim CYLINDRVS motum circularem ad axem non retinet, cùm à rectitudine deflectit: sic neque consequitur animus quæ verè bona sunt, cùm à recta ratione & statu, quem apud Deum obtinebat, excidit: sed vagus opinione bonorum ducitur, & à recto deflectit, sensuúmque perturbationibus voluitur atque rapitur. Quod indicauit, cùm ALIAS AD ALIA RAPI, INFINITA DAMNA PATIENTES, dixit. Quoniam autem SORTIS, QVAE MENTES VEXAT, & separationis à Deo, caussam habet motus liberæ facultatis præter naturam affectæ; etiam qualiter ipsum sedare oporteat, & ad Deum conuertere, duobus, qui sequuntur, versibus ostendit: partim quidem voluntarium damnum eo demonstrans, quòd EXITIOSAM CONTENTIONEM SIMVL INNATAM DAMNA SENSIM SINE SENSV INFERRE dixit: partim etiam sanandi libertatem innuens, cùm EXCITARI NON DEBERE, SED CEDENDO VITARI, intulit. Verùm cùm animaduerteret egere nos imprimis auxilio diuino ad mala vitanda

bonaque assequēda; sermonē ad Iouē, veluti prece quadā ad opis impetrationē, cōuertit.
61 IVPITER PARENS, AVT TANTIS MALIS OMNES LIBERA, 62 AVT OMNIBVS OSTENDE QVO DAEMONE VTANTVR. 63 VERVM CONFIDE, QVIA DIVINVM GENVS IIS EST MORTALIBVS, 64 QVIBVS NATVRA SACRA SINGVLA APERIENS OSTENDIT: 65 QVORVM SI FVERIS IPSE PARTICEPS, IIS POTIERIS: QVAE TIBI IMPERO, 66 REMEDIO QVE ADHIBITO ANIMVM LABORIBVS ISTIS LIBERABIS.

Iupiter alme, malis iubeas vel soluier oēs:
Omnib⁹ vtāturvel quonā dæmone mōstra.
At confide: hominū diuina est stirpis origo:
Sacra quib⁹ natura fauēs hæc sīgula pādit.
Quæ si tu teneas, dictis potieris & ipse,
Purgatūq; animū damnis seruabis ab istis.

Solebant Pythagorei IOVIS nomine, vniuersitatis huius conditorem & PARENTEM venerari. Est enim iustum à quo vt sint, atque viuant, omnia possident, ab hac eum virium facultate nominare. Congruit nanque quod Dei reuera nomen est, eius maximè viribus atque operibus. Quæ autem videntur nobis ꝑpria existere, fortuitò magis, atque ex instituto, quàm cōsiderata naturæ

ἀνάκλησιν δὲ τῶν ἀγαθῶν, ὥσπερ τινὰ δίχλω ἐπήγαγε, καὶ βοηθείας αἰτίαν, τὴν πρὸς τὸν Δία ἐπιστροφήν.

61 ΖΕΥ ΠΑΤΕΡ, Η ΠΟΛΛΩΝ ΤΕ ΚΑΚΩΝ ΛΥΣΕΙΑΣ ΑΠΑΝΤΑΣ· 62 Η ΠΑΣΙΝ ΔΕΙΞΑΙΣ ΟΙΩ ΤΩ ΔΑΙΜΟΝΙ ΧΡΩΝΤΑΙ. 63 ΑΛΛΑ ΣΥ ΘΑΡΣΕΙ. ΕΠΕΙ ΘΕΙΟΝ ΓΕΝΟΣ ΕΣΤΙ ΒΡΟΤΟΙΣΙΝ, 64 ΟΙΣ ΙΕΡΑ ΠΡΟΦΕΡΟΥΣΑ ΦΥΣΙΣ ΔΕΙΚΝΥΣΙΝ ΕΚΑΣΤΑ· 65 ΩΝ ΕΙ ΣΟΙ ΤΙ ΜΕΤΕΣΤΙ ΚΡΑΤΗΣΕΙΣ. ΩΝ ΣΕ ΚΕΛΕΥΩ, 66 ΕΞΑΚΕΣΑΣ ΨΥΧΗΝ ΔΕ ΠΟΝΩΝ ΑΠΟ ΤΩΝΔΕ ΣΑΩΣΕΙΣ.

Τὸν ποιητὴν καὶ ΠΑΤΕΡΑ τοῦδε τοῦ παντὸς ἔθος ἦν τοῖς πυθαγορείοις καὶ τοῦ ΔΙΟΣ, καὶ ΖΗΝΟΣ, ὀνόματι σεμνύνειν. δι' ὃν γὰρ τὸ εἶναι, καὶ τὸ ζῆν, τοῖς ΠΑΣΙΝ ὑπάρχει, τοῦτον δίκαιον ἀπὸ τῆς ἐνεργείας ὀνομάζεσθαι. κύριον γὰρ ὄντως ὄνομα θεοῦ τὸ ταῖς ἐνεργείαις καὶ ταῖς ποιήσεσι μάλιστα πρέπον. τὰ δὲ ἐφ' ἡμῖν δοκοῦντα κύρια εἶναι, τύχη καὶ προαίρεσις τίθεται μᾶλλον, ἢ ἡ τῆς οὐσίας

οἰκειότης ἐξελείσης· ὡς ἔστιν ἐπὶ πολλῶν ἰδεῖν ὀνομάτων ἀλλοτρίως κειμένων· οἷον εἰ ὁ πονηρὸς τὸν τρόπον, ἀγαθὸς καλεῖτο· καὶ εἰ ὁ ἄθεος τὴν γνώμην, εὐσεβής. τὰ γὰρ τοιαῦτα οὐδὲν μετέχει τῆς τῶν ὀνομάτων ὀρθότητος, ὅτι μηδὲν τῆς οὐσίας, ἢ τῆς ἐνεργείας παρίστησιν τῶν πραγμάτων ἐκείνων, οἷς κεῖται ὀνόματα. τὴν οὖν ὄντως ὀρθότητα τῶν ὀνομάτων ἐν τοῖς ἀϊδίοις τῶν πραγμάτων χρὴ ζητεῖν. καὶ τούτων ἐν τοῖς θείοις. καὶ τῶν θείων ἐν τοῖς ἀρίστοις. ὅθεν καὶ τὸ τοῦ ΔΙΟΣ ὄνομα σύμβολόν ἐστι, καὶ εἰκὼν ἐν φωνῇ δημιουργικῆς οὐσίας, τῷ τοῖς πρώτοις θεμένοις τοῖς πράγμασι τὰ ὀνόματα διὰ σοφίας ὑπερβολὴν, ὥσπερ τινὰς ἀγαλματοποιοὺς ἀρίστους, διὰ τῶν ὀνομάτων, ὡς δι᾽ εἰκόνων, ἐμφανίσαι αὐτῶν τὰς δυνάμεις. τὰ γὰρ ἐν τῇ φωνῇ ὀνομάτων σύμβολα τῶν ἐν τῇ ψυχῇ νοήσεων ἀπειργάζοντο. τὰς δὲ νοήσεις αὐτὰς γνωστικὰς τῶν νοηθέντων πραγμάτων ἐποιοῦντο. τῇ γὰρ πρὸς τὰ νοητὰ ἐπιστροφῇ θεωρίας πληρωθέντες, κἀκεῖθεν ἐγκύμονες γενόμενοι νοερῶν ὠδίνων εἰς φωνὰς προϊόντες, τοιαῦτα ἔθεντο τοῖς οὖσιν ὀνόματα, ἃ δι᾽ αὐτῆς τῆς φωνῆς, καὶ τῶν εἰς τὴν ταύτης ἐκφώνησιν παρειληφθέντων στοιχείων, ὡς οἷόν τε ἦν, ἀπετύπου τῶν ὀνομαζομένων τὰ εἴδη, καὶ ἐπέστρεφε πρὸς αὐτὰς τὰς οὐσίας

proprietate, reperta sunt, atque indita. Quemadmodum in multis nominibus licet intueri quorum aliena est ab eo, quod significant, impositio. Vt, si quis eum, qui moribus sit improbis, probum nominet; & pium, qui male de Deo sentiat. Nihil enim quę sunt huiusmodi, rectæ nominum rationis ideò obtinent; quòd earum rerum naturam, vel facultatem, ad quarum significationem data sunt, minimè exprimant. Decet ergo veram nominum interpretationem in rebus æternis quærere; idque in diuinis, earúmque præstantissimis. Quo fit, vt IOVIS nomen symbolum quoddam, atque imaginem opificis naturæ voce ipsa exprimat: cùm qui primi nomina rebus indiderunt, propter summam sapientiam; velut statuarij quidā optimi, nominibus ipsis, tāquam formis, vires earum indicarint. Effecerunt enim vt quæ in voce nomina existerent, cogitationum symbola fierent, quæ animo continentur: cogitationes autem ea indicarent, quæ cogitarentur. Cùm enim assiduo intelligibilium vsu, contemplatione abundarent, vnde grauidi effecti, cogitatione parturiente, ad voces accederent; ea nomina rebus imponebant, quæ voce ipsa, & elementis quæ ad eius expressionem assumerentur quantùm fieri posset, rerum formas, quibus nomina tribuerentur, exprimerent

cósque, à quibus rectè audirētur, ad earum naturam atque substantiā ita conuerterent; vt qui illorum contemplationis finis existebat, principiū nobis ad assequendam rerum notitiam fieret. Ita ergo ab illis quidem antea quaternarius, qui mundum hunc condidit; hoc autē loco IVPITER PARENS propter eas rationes, quas attulim⁹, est appellatus. Quòd autem ab eo postulat huius precis oratio, id ipsum sanè omnibus bonitate ipsius in promptu est: sed est in nobis sitū, vt ipsi accipiamus, quod semper ab eo porrigitur. Nam & superiùs dictum est;

——finem dein sante precatus
Numina opus facito:——

tanquam illos quidem nunquam non dare bona significet: sed nos ea tū accipere, cùm ad diuinam largitionem ipsi attēdimus. Neque enim admittet arbitrij libertas, nisi velit, quę verè bona sunt. Sunt autem eiusmodi, veritas atque virtus: quæ semper ab opifice natura, eadémque ratione illucent omnibus. Postulat etiam hoc loco, ad NECESSARIAM MALORVM LIBERATIONEM, intueri nos nostrā ipsorū naturā: id enim significat, cùm dicit, QVO DAEMONE VTANTVR; ita animum indicans. Huiusmodi verò ad se conuersione sequi necessariò statuitur & malorum liberatio, & eorum ostensio, quæ ad felicitatem à Deo porriguntur. Ex suppositione

τοὺς ὀρθῶς αὐταῖς κατακούοντας· ὥστε γίνεσθαι τὸ πέρας τῆς ἐκείνων θεωρίας ἀρχὴν ἡμῖν πρὸς εὕρεσιν τῆς τῶν πραγμάτων γνώσεως. οὕτω μὲν οὖν ὁ δημιουργὸς αὐτοῖς πάλαι μὲν τετρακτὺς, νῦν δὲ ΖΕΥΣ ΠΑΤΗΡ, δι' ἃς εἴπομεν αἰτίας ὠνόμασται. ὃ δὲ αἰτεῖ παρ' αὐτοῦ τῆς παρούσης εὐχῆς ὁ λόγος, τοῦτο δὴ τοῖς ΠΑΣΙΝ ἐφήπλωται δι' ἀγαθότητα· παρ' ἡμῖν δέ ἐστι τὸ λαβεῖν τὸ ἀεὶ παρ' ἐκείνου διδόμενον. καὶ γὰρ ἐν τοῖς προτέροις εἴρηται, —ἔρχευ ἐπ' ἔργον

Θεοῖσιν ἐπευξάμενος, —

ὡς ἐκείνων μὲν ἀεὶ διδόντων τὰ ἀγαθὰ, ἡμῶν δὲ ποτὲ αὐτὰ δεχομένων, ὅταν ἑαυτοὺς πρὸς τὴν θείαν δόσιν συντείνωμεν. τὸ γὰρ αὐτεξούσιον οὐκ ἂν λάβοι τὰ ὄντως ἀγαθὰ μὴ βουλόμενον λαβεῖν. ταῦτα δέ ἐστιν ἀλήθεια καὶ ἀρετὴ ἀπὸ τῆς δημιουργικῆς οὐσίας ἀεὶ καὶ ὡσαύτως πᾶσιν ἐλλαμπόμενα. καὶ νῦν δὲ ὁ λόγος ἀναγκαίαν πρὸς τὴν ΤΩΝ ΚΑΚΩΝ ΛΥΣΙΝ ἀπαιτεῖ τὴν ἑαυτῶν οὐσίαν ἡμᾶς ἰδεῖν· τοῦτο γὰρ ἦν ΟΙΩ ΤΩ ΔΑΙΜΟΝΙ ΧΡΩΝΤΑΙ· αὐτὴ τοῦ, οἵα ψυχή. τῇ δὲ τοιαύτῃ εἰς ἑαυτοὺς ἐπιστροφῇ δεικνύεται ἐξ ἀνάγκης ἕπεσθαι ἥ τε ἀπαλλαγὴ τῶν ΚΑΚΩΝ, καὶ τὴν ἔκφανσιν τοῦ πρὸς εὐδαιμονίαν ὑπὸ τοῦ θεοῦ προτεινομένων. ἐξ ὑποθέσεως

οὖν περίεισιν ὁ λόγος, ὅτι εἰ ΓΑΝΤΕΣ ἴδοιεν οἷοί εἰσιν, καὶ ΟΙΩ ΤΩ ΔΑΙΜΟΝΙ ΧΡΩΝΤΑΙ, ΓΑΝΤΕΣ ΑΓΟΛΥΘΕΙΕΝ ἂν τῶν ΚΑΚΩΝ. τοῦτο δὲ ἀδύνατον. οὐ γὰρ οἷόν τε ΓΑΝΤΑΣ ὁμοῦ φιλοσοφῆσαι, καὶ ὑποδέξασθαι τὰ παρὰ τοῦ θεοῦ ἀεὶ προσφερόμενα ἀγαθὰ πρὸς εὐζωΐας τελειότητα. τί οὖν τὸ λειπόμενον, ἢ τούτοις μόνοις χρῆναι ΘΑΡΡΕΙΝ τοὺς προσιόντας τῇ ἀναφανείσῃ τῶν οἰκείων ἡμῖν ἀγαθῶν ἐπιστήμῃ; μόνοις γὰρ τούτοις ΑΓΟΛΥΘΗΣΕΣΘΑΙ τῶν περιπεπηγότων ΚΑΚΩΝ τῇ θνητῇ φύσει· ἐπειδὴ καὶ μόνοι πρὸς τὴν θέαν τῶν ὄντως ἀγαθῶν ἐπεστράφησαν, οὓς ἄξιον καὶ εἰς ΤΟ ΘΕΙΟΝ ΓΕΝΟΣ ἐγγράφειν, ὡς ὑπὸ τῆς ΙΕΡΑΣ ΦΥΣΕΩΣ, τουτέστι φιλοσοφίας διδαχθέντας, καὶ ἀσκηθέντας τὰ δέοντα. τῆς δὲ κοινωνίας τῶν ΘΕΙΩΝ ΑΝΔΡΩΝ ΕΙ ΤΙ ΜΕΤΕΣΤΙ ΗΜΙΝ δηλώσομεν ἀντεχόμενοι τῶν σπουδαίων ἔργων, καὶ τῶν ἐπιστημονικῶν γνώσεων, οἷς μόνοις ἡ τοῦ ΑΝΘΡΩΠΟΥ ψυχὴ θεραπεύεται, καὶ τῶν τῇδε ἐλευθεροῦται ΠΟΝΩΝ ΕΙΣ τὴν ΘΕΙΑΝ λῆξιν μεθισταμένη. συνελόντως οὖν εἰπεῖν, ὁ νοῦς τῶν προκειμένων ἐπῶν ἐστὶ τοιοῦτος· οἱ γνόντες ἑαυτοὺς ΑΓΟΛΥΟΝΤΑΙ

ergo progreditur oratio, fore iudicans, vt MALIS OMNES LIBERENTVR, SI NORINT QVO DAEMONE VTANTVR. Sed fieri istud non posse. Neque enim valere OMNES, simul sapientiæ studio teneri, & bona amplecti, quæ à Deo ad felicitatis perfectionem conferuntur. Quid igitur superest, nisi debere eos solùm CONFIDERE, qui ad disciplinam illam accedunt, quæ sua nobis bona ostendit? constat enim illos tantummodò MALIS, quæ mortali vitæ adhærescunt, LIBERATVM IRI: quoniam & ipsi soli ad eorum contemplationem, quæ verè bona sunt, sese contulerunt; quos iustum est DIVINO GENERI adscribere, tanquam à SACRA NATVRA, id est philosophia, edoctos, & in eis, quæ decet, exercitatos atque excultos. Ostēdem⁹ autē SI QVID DIVINORVM HOMINVM societatis participes simus, cùm honestis operibus incūbemus, atque disciplinis intellectualibus; quibus solis HOMINVM reficitur animus, & LABORIBVS, quos hîc patiebatur, liberatus in DIVINAM sortem commigrat. Significant igitur, (vt paucis absoluam) propositi versus, eos, qui seipsos NORVNT, humanis LIBERARI

perturbationibus. Quamobrem ergo non OMNES LIBERANTVR, cùm nullis desit ad sui notitiam ex congenitis sibi rebus occasio? quia permulti, inquit, spontanea mala patiuntur, qui vicina bona nec vident, nec audiunt. Pauci autem sunt, qui eo ipso malis liberari norint, quòd IGNORENT QVO DAEMONE VTANTVR: ij nimirum, qui philosophiæ auxilio ignorationis morbo purgati sunt, terrenisque locis, tanquam carcere liberati. Qui ergo postulat, IOVEM alloquens, AVT MVLTIS MALIS OMNES LIBERARI; AVT OMNIBVS INDICARI QVALI DAEMONE VTANTVR? annon, tanquam penes illum sit, etiam inuitos OMNES ad veritatem reuocare: negligere autem; vel dedita opera non facere; vt in vinculis detineantur? Aut etiam, si nec istud quidem cogitare sanctum sit? At indicat potius, decere ad Deum, tanquam PARENTEM, conuerti, qui ad vitæ felicitatem vrgeat. Est enim Deus omnium quidem conditor: sed bonorum etiam PARENS. Qui ergo MALORVM NOVIT LIBERATIONEM;

τῆς θνητῆς ἐμπαθείας. διὰ τί οὖν οὐ ΠΑΝ-
ΤΕΣ ΑΠΟΛΑΥΟΝΤΑΙ, πάντες
ἀφορμὰς ἔχοντες ἐν συμφύτοις πρὸς ἐπίγνω-
σιν τῆς ἑαυτῶν οὐσίας; ὅτι οἱ πλεῖστοι, ὡς ἔφην,
αὐθαίρετα πήματ' ἔχοντές εἰσιν, οἳ τῶν ἀγαθῶν
πέλας ὄντων οὔτ' ἐσορῶσιν, οὔτε κλύουσιν· ὀλίγοι
δέ εἰσιν, οἱ τῶν κακῶν λύσιν συνιέντες ἐκ τοῦ γνῶ-
ναι ΟΙΩ ΤΩ ΔΑΙΜΟΝΙ ΧΡΩΝ-
ΤΑΙ. οὗτοι δέ εἰσιν οἱ φιλοσοφίᾳ καθηράμε-
νοι τῶν τῆς ἀλογίας παθῶν, καὶ ἐκ τῶν τῇδε τόπων,
ὥσπερ ἐκ δεσμωτηρίων, ἐλευθερούμενοι. πῶς
οὖν φησι πρὸς τὸν ΔΙΑ, Η ΠΟΛΛΩΝ
ΤΕ ΚΑΚΩΝ ΠΑΥΣΕΙΑΣ
ΑΠΑΝΤΑΣ, Η ΠΑΣΙ ΔΕΙ-
ΞΑΙΣ ΟΙΩ ΤΩ ΔΑΙΜΟΝΙ γρ.
ΧΡΩΝΤΑΙ; *ἄρα ὡς ἐπ' ἐκείνῳ ὂν καὶ ἆρα
ἄκοντας ἐπιστρέψαι πρὸς τὴν ἀλήθειαν Α-
ΠΑΝΤΑΣ, ΑΜΕΛΕΙΑ δέ, ἢ ἐπὶ
βουλῇ τοῦτο μὴ *ποιοῦντα, ἵν' ἐν τοῖς δεσμοῖς γρ.
κατέχοιντο; ἢ ταῦτα μὲν οὐδ' ὅσιον ἐπινοεῖν; ἐκεῖ- ποιεῖν
νο δὲ μᾶλλον ὁ λόγος ἐπιδείκνυται, ὅτι ἐπὶ τὸν
θεόν, ὡς πρὸς ΠΑΤΕΡΑ, ἐπιστραφῆναι
δεῖ τὸν πρὸς εὐζωίαν ἐπειγόμενον. ἔστι γὰρ ὁ
θεὸς δημιουργὸς μὲν ΠΑΝΤΩΝ, τῶν δὲ
ἀγαθῶν καὶ ΠΑΤΗΡ. ὁ γοῦν τὴν ΛΥ-
ΣΙΝ ΤΩΝ ΚΑΚΩΝ συνιείς.

καὶ τῶν αὐθαιρέτων πημάτων ἠλευθερωμένος, καὶ
τὴν λυχναν ἔχειν προσεικότων ἐν ἑκουσίῳ ψυχῇ,
ἔτι πρὸς τὴν ἐκ θεοῦ καθήκουσαν βοήθειαν
ἐπιστρεφόμενος ἀναβοᾷ τὸ ΖΕΥ ΠΑ-
γρ. ἤδη ΤΕΡ, τῷ *ἤδη περιειργάσθαι τὰ παιδὸς
ἄξια, τὸν θεὸν ΠΑΤΕΡΑ καλῶν. καὶ ἐννοεῖ
• διὰ *τὸ ἀφ᾽ ἑαυτοῦ συμβαῖνον, ὡς εἰ γένοιτο ἐπὶ
ΠΑΝΤΩΝ, ΠΑΝΤΕΣ ὁμοίως ἂν
αὐτῷ τῶν ΚΑΚΩΝ ΑΠΟΛΥ-
ΘΕΙΕΝ· εἶτ᾽ εὑρὼν τοῦτο μὴ προβαῖνον, οὐ
γρ. λέγει οὕτω διὰ τὸν θεὸν, ἀλλὰ διὰ τοὺς πλείστους αὐθαίρετα
πήματ᾽ ἔχειν, *λεγέτω πρὸς ἑαυτὸν ΑΛΛΑ
ΣΥ ΘΑΡΣΕΙ ὁ τὴν ὁδὸν ἐξευρηκὼς τῆς
ΑΠΟΛΥΣΕΩΣ ΤΩΝ ΚΑΚΩΝ·
αὕτη δὲ ἦν ἡ διὰ τῆς ΙΕΡΑΣ φιλοσοφίας
ἐπιστροφὴ πρὸς τὰ ΔΕΙΚΝΥΜΕΝΑ
ὑπὸ τοῦ θεοῦ, ἃ οἱ πολλοὶ οὐχ ὁρῶσι, διὰ τὸ μὴ
• χρῆσθαι ὀρθῶς *ταῖς κοιναῖς ἐννοίαις, ἃς ΠΡΟΣΕ-
ΦΥΣΕΝ ὁ δημιουργὸς τῷ λογικῷ γένει
πρὸς ἐπίγνωσιν ἑαυτοῦ. ἐπεὶ οὖν τὸ ΔΕΙ-
ΞΑΙ τινὶ ὁτιοῦν, δύο προσώπων ἐνεργείας εἰς
αὐτὸ δραμούσας ἐμφαίνει· (πῶς γὰρ ἂν ΔΕΙ-
ΞΑΙΣ τυφλῷ, κἂν μυριάκις προσφέρῃς ὃ
βούλῃ ΔΕΙΞΑΙ; ἢ πῶς ἂν τῷ ὁρῶντι ΔΕΙ-
ΞΑΙΣ μηδὲν προσάγων;) ἀμφότερα
οὖν παρεῖναι δεῖ τό, τε παρὰ τοῦ ΔΕΙ-
ΚΝΥΝΤΟΣ προσαγόμενον ἀγαθόν·

qui ſpontaneis præterea liberatus eſt; qui item damnoſam contentionem fuga voluntaria deuitauit; ad congruum ille Dei auxilium conuerſus IVPITER PARENS inclamat; hoc ipſo videlicet, quòd ea ſit antè operatus, quæ filium decuerant, PARENTEM appellans. Intelligit deinde ex eo, quod de ſe contigit, ſi idem fieret ab OMNIBVS, OMNES quoque ſimiliter atque ipſum MALIS LIBERATVM IRI. Poſtea, vbi deprehendit non iſtud Deo autore fieri, ſed multorum culpa, qui ſpontanea mala amplectuntur: ſeipſum CONFIDERE adhortatur; qui LIBERATIONIS MALORVM viam inuenerit. Ipſam nimirum ad ea conuerſionem, quæ ſibi ſacræ philoſophiæ opera à Deo OSTENSA SVNT; quæ multi propterea non vident, quòd communibus notitijs non rectè vtantur; quas ad ſui cognitionem rationis capaci generi opifex ipſe INNASCI voluit. Quoniam verò ad quamcumque rem alicui OSTENDENDAM duarum perſonarum actiones in vnum cõſtat debere concurrere: (quî enim cæco quod cupis OSTENDAS, etiam ſi milies proferas? aut quî videnti DEMONSTRES, quod non proferas?) vtrumque certè adeſſe conuenit; & bonum, quod ab eo proponitur; qui OSTENDIT.

& eius videndi capacem oculum, cui res ipſa OSTENDITVR: vt hinc quod in videndi ſenſum cadit; inde autem viſio ipſa, ad OSTENSIONIS effectum concurrant. Quæ cùm ita ſint; ponamus fore, vt omnes ſimul MALIS LIBERENTVR, ſi OMNIBVS OSTENDAT opifex, atque largiatur ſuæ naturæ notitiam, & QVO DAEMONE VTANTVR. At non OMNES tamen ſimul MALIS LIBERABVNTVR. Sequitur ergo non OMNIBVS eum OSTENDERE; ſed ijs tantùm, qui per ſe ad MALORVM LIBERATIONEM accedunt; quique ſponte oculos ad eius, quod oſtenditur, contemplationem atque ſuſceptionem intendunt. Non eſt igitur ipſe in cauſſa, cur OMNIBVS minimè OSTENDATVR; ſed illi ipſi, qui vicina bona neque vident, neque audiunt; vnde ſpontanea mala pati diximus. Eſt ergo in cauſſa qui eligit; non Deus, qui OMNIBVS quidem ſemper quæ bona ſunt, quantum poteſt, antè indicat: non OSTENDIT tamen ſemper OMNIBVS; quia, quo tempore porriguntur, plurimorum morbo caligent oculi, & deteriorum occupatione deorſum defixi hæreant.

καὶ τὸ παρ' ἑαυτοῦ, ᾧ ΔΕΙΚΝΥΤΑΙ, διορατικὸν ὄμμα· ἵνα ἐκεῖθεν μὲν τὸ ὁρατὸν, ἐντεῦθεν δὲ ἡ ὅρασις συνδράμῃ, πρὸς τὴν τῆς ΔΕΙΞΕΩΣ συμπλήρωσιν. Τούτων δὲ οὕτως ἐχόντων, λάβωμεν ὑπόθεσιν πάντας * ἅμα ΑΠΟΛΥΘΗΝΑΙ ΤΩΝ ΚΑΚΩΝ, ΕΙ ΠΑΣΙ ΔΕΙΞΕΙΕΝ ὁ δημιουργὸς καὶ ἐμφανίσειε τὴν τῆς ἑαυτοῦ οὐσίας ἐπίγνωσιν, καὶ ΟΙΩ ΤΩ ΔΑΙΜΟΝΙ ΧΡΩΝΤΑΙ. ἀλλὰ μὴν οὐ ΠΑΝΤΕΣ ἅμα ΑΠΟΛΥΟΝΤΑΙ ΤΩΝ ΚΑΚΩΝ. οὐκ ἄρα ΠΑΣΙ ΔΕΙΚΝΥΣΙΝ, ἀλλὰ μόνοις ἐκείνοις τοῖς πρὸς ΑΠΟΛΥΣΙΝ ΤΩΝ ΚΑΚΩΝ οἴκοθεν ὁρμωμένοις, καὶ τὸ παρ' ἑαυτῶν ὄμμα πρὸς θέαν τοῦ ΔΕΙΚΝΥΜΕΝΟΥ, καὶ ὑποδοχὴν ἀνατείνασιν. οὐκ ἄρα αὐτὸς αἴτιος τοῦ μὴ ΠΑΣΙ ΔΕΙΞΑΙ, ἀλλ' οἱ τῶν ἀγαθῶν πέλας ὄντων, οὔτ' ἐσορῶντες, οὔτε κλύοντες. καὶ διὰ τοῦτ' αὐθαίρετα πήματ' ἔχειν λέγομεν. αἰτία οὖν τοῦ ἑλομένου, θεὸς δὲ ΚΑΚΩΝ ἀναίτιος, περιλάμπων μὲν ἀεὶ τὰ ἀγαθὰ ΠΑΣΙΝ, ὅσον ἐφ' ἑαυτῷ· ὁ ΔΕΙΚΝΥΣ δὲ ΠΑΣΙΝ ἀεὶ, τῷ τὸ θεωρὸν ὄμμα τῶν περιτεινομένων ἀγαθῶν ἐν τοῖς πλείοσι μεμυκέναι, καὶ κάτω νεύειν ἀσχολίᾳ τῇ πρὸς τὰ χείρονα.

* α

ἡ δὲ τοιαύτη τῶν προκειμένων ἐπῶν ἐξήγησις
καὶ πρὸς τὴν ἀλήθειαν αὐτὴν συμφωνεῖ, καὶ
πρὸς τὴν τῶν ὑποκειμένων ἐπῶν διάνοιαν. εἰ γὰρ
ἐπὶ τῷ θεῷ ἐστὶν ἑλκύσαι πρὸς τὴν ἀλήθειαν τοὺς
ἀνθρώπους καὶ ἄκοντας, τί αὐθαίρετα τίματ'
ἔχειν αὐτοὺς ἐγκαλοῦμεν; τί δὲ συμβουλεύομεν
ὡς τὴν ἔριν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύ-
γειν; ἢ τί τὰ συμβαίνοντα πράως φέρειν, καὶ ἰᾶσθαι
σπουδάζειν ἐπιτάττομεν; ὅλως γὰρ ἡ διὰ μαθή-
σεως πρὸς ἀρετὴν ὁδὸς ἀποκλείεται τοῖς τὸ
ἐφ' ἡμῖν ἀναιροῦσιν. οὐ γὰρ ἂν ἔτι δέῃ ποιεῖν, οὐδὲ ἂν
μελέτῃ, καὶ σπουδῇ τεύξεσθαι τῶν καλῶν, εἰ τοῦ θεοῦ
ἴδιον ἦν σῴζειν ἡμᾶς ἀπὸ κακίας, καὶ τῶν ἀρε-
τῶν πλήρεις ποιεῖν, μηδὲν παρ' αὐτῶν συνεισφέ-
ροντας. ἀλλ' οὕτως ἂν ἡ αἰτία τῆς τῶν πολλῶν
πονηρίας θεοῦ ἦν ἔγκλημα. εἰ δὲ ἀναίτιος κα-
γρ. κῶν ὁ θεός, ὥσπερ καὶ λέγεται, δῆλον ὡς παρ' ἡμῖν
λέλειπται ἡ τῶν ἀγαθῶν ὑπόστασις, ὅτι πέλας ὄντων αὐ-
γρ. τῶν, καὶ ἐν ἡμῖν κατὰ τὰς ΦΥΣΙΚΑΣ ἐννοίας
ἀπόστα- κειμένων, οὔτ' ἐσορῶμεν, οὔτε κλύομεν. αἰτία δὲ
σις τῆς ἀβλεψίας ταύτης καὶ ἀνηκοΐας ἡ λυγρὰ
ἔρις, αὐθαίρετος οὖσα βλάβη, ἣν οὐ δεῖ προσ-
άγειν ἐπὶ πλεῖον, εἴκοντα δὲ φεύγειν ἀπ' αὐτῆς,
καὶ τὴν τῶν ΚΑΚΩΝ ΛΥΣΙΝ
συνιέναι, καὶ τὴν εἰς θεὸν ἐπιστροφὴν ἐξευ-
ρίσκειν. οὕτω γὰρ ἡ παρὰ τοῦ θεοῦ ἔλλαμ-
ψις, τῆς παρ' ἡμῶν ἐφέσεως αὐτῇ συντρεχούσης,

Congruit autem isthæc propositorum versuum explicatio, & cum veritate ipsa, & cum eorum mente, qui præcedunt. Si enim Dei est homines etiam inuitos ad veritatem pertrahere; quid eos spontanea damna pati arguimus? quid rursum litem exitiosam non excitare, sed fugere, suademus? quid item casus aduersos moderatè ferre, & remedia quærere? omnino enim quæ disciplinæ via est ad virtutē, illis intercluditur, cùm arbitrij tollitur libertas. Non enim eorum quicquam deceat, vel agere, vel curare, vel studiosè sectari, quæ recta sunt; si Dei sit ab iniquitate nos seruare, virtutibúsque implere nihil ex nobis conferentes. Quód si ita se haberet, esset ita vitiorum caussa in permultis diuinæ culpæ tribuenda. Sin autem malorum culpa vacat Deus, vt etiam dictum est: haud iam dubium est, quin ipsi à bonis defecerimus, quæ, cùm vicina habeamus, & in nobis secundum naturales notitias posita, eadem ipsi neque intuemur, neque audimus. est verò cæcitatis huius, atque surditatis autor perniciosa ista contentio spontè damnum amplectens: quam non decet amplius augere; sed cedendo vitare; & malorum liberationem nosse, viámque ad Deum reuertendi inuenire. Ita enim Dei qualibet indicatio, si eidem intuitus noster accedat,

OSTENSIO euadit. Sunt verò OSTENSIONIS opera, quies animi, LIBERATIO LABORVM, QVOS hîc toleramus; diuinorũ præterea bonorũ fruitio, & PATERNAE cõuersationis cõmunicatio. His igitur de virtute & veritate præmissis: & virtutis quidem præceptis nocturna ratiocinatione cõclusis; veritatis autẽ spe ad quitẽ vsque, & salutẽ animi perducta: ea nunc adfert, quæ ad alatæ puritatis splendorem pertinẽt; tertium nimirum philosophiæ genus adiungens superioribus.

67 ABSTINE PORRO CIBIS, QVOS DIXIMVS, TVM IN LVSTRATIONIBVS; 68 TVM IN ANIMI LIBERATIONE DIIVDICANS: ET CONSIDERA SINGVLA, 69 RATIONEM, OPTIMVM AVRIGAM, SVPERIORE LOCO STATVENS.

Sperne cibos cautus, veluti purgamina monstrans,
Atq; animũ soluẽs, dixi. tũ singula pẽsans,
Aurigæ menti cedas quas tractet habenas.

Natura ratione prædita, quæ corp⁹ habet sibi congenitũ, ita ab opifice edita fuit, vt neq; ipsa corp⁹ existeret; neq; tamẽ careret corpore: sed esset quidẽ incorporea; in corp⁹ autẽ species eius tota desineret. Sicut enĩ in astris quidẽ ꝙ est superi⁹, substãtia est corporis expers; ꝙ autẽ inferi⁹, corpore pręditum:

& sol

ΔΕΙΞΙΣ γίνεται. ἔργα δὲ τῆς ΔΕΙΞΕΩΣ, ψυχῆς λύσεις, καὶ σωτηρία ἀπὸ τῶν τῇδε πόνων, καὶ συναίσθησις τῶν θείων ἀγαθῶν, καὶ κοινωνία τῆς ΠΑΤΡΙΚΗΣ πολιτείας. τοσαῦτα περὶ ἀρετῆς, καὶ ἀληθείας προειπὼν, καὶ τὰ μὲν τῆς ἀρετῆς παραγγέλματα εἰς τὸν νυκτερινὸν σύλλογον περατώσας, τὰς δὲ τῆς ἀληθείας ἐλπίδας, ἕως τῆς λύσεως, καὶ σωτηρίας τῆς ψυχῆς ὁρίσας, ἐπάγει τὰ περὶ τῆς τοῦ αὐγοειδοῦς καθαρότητος ἱερατικῆς, τρίτον τι φιλοσοφίας εἶδος ἐπισυνάπτων τοῖς προειρημένοις.

67 ΑΛΛ' ΕΙΡΓΟΥ ΒΡΩΤΩΝ, ΩΝ
ΕΙΠΟΜΕΝ, ΕΝ ΤΕ ΚΑΘΑΡΜΟΙΣ,
68 ΕΝ ΤΕ ΛΥΣΕΙ ΨΥΧΗΣ ΚΡΙ-
ΝΩΝ· ΚΑΙ ΦΡΑΖΕΥ ΕΚΑΣΤΑ
69 ΗΝΙΟΧΟΝ ΓΝΩΜΗΝ ΣΤΗ-
ΣΑΣ ΚΑΘΥΠΕΡΘΕΝ ΑΡΙΣΤΗΝ.

Ἡ λογικὴ οὐσία συμφυὲς ἔχουσα * παρὰ τοῦ * σῶμα δημιουργοῦ εἰς τὸ εἶναι παρῆλθεν, ὡς μήτε τὸ σῶ- [οὕτω]
μα εἶναι αὐτὴν, μήτε ἄνευ σώματος· ἀλλ' αὐτὴν μὲν ἀσώματον, ἀποπερατοῦσθαι δὲ εἰς σῶμα τὸ ὅλον αὐτῆς εἶδος. οἷον γὰρ ἐπὶ τῶν ἄστρων, τὸ μὲν ἄνω αὐτῶν ἀσώματος οὐσία, τὸ δὲ κάτω σωματική·

κϛʹ ζ καὶ ἔστιν ἥλιος τὸ ὅλον· τὸ δὲ ἀσωμάτου, καὶ σώματος οὔποτε διεστώτων, εἶτα συνελθόντων (οὕτω γὰρ ἂν καὶ διέστη πάλιν) ἀλλ᾽ ἅμα συνδεδημιουργημένων, καὶ ἐν τάξει συμπεφυκότων, ὡς τὸ μὲν ἡγούμενον εἶναι, τὸ δὲ ἑπόμενον· οὕτως ἔχει καὶ ἐπὶ τῶν ἐφεξῆς λογικῶν γενῶν, τοῦτε ἡρωϊκοῦ, καὶ τοῦ ἀνθρωπίνου. καὶ ἔστιν ἕκαστος ἥρως, ψυχὴ λογικὴ μετὰ φωτεινοῦ σώματος. καὶ ὁ ἄνθρωπος ὁμοίως, ψυχὴ λογικὴ μετὰ συμφυοῦς ἀθανάτου σώματος. καὶ τοῦτο τῶν Πυθαγορείων ἦν δόγμα, ὃ δὴ Πλάτων ὕστερον ἐξέφηνεν, ἀπεικάσας ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε, καὶ ἡνιόχου, πᾶσαν θείαν τε, καὶ ἀνθρωπίνην ψυχήν. δεῖ οὖν πρὸς μὲν τελείωσιν τῆς ψυχῆς ἀληθείας ἡμῖν, καὶ ἀρετῆς· πρὸς δὲ ΚΑΘΑΡΣΙΝ τοῦ αὐγοειδοῦς ἡμῶν σώματος, τῆς τῶν ὑλικῶν μολυσμῶν ἀποθέσεως, καὶ τῶν ἱερῶν ΚΑΘΑΡΜΩΝ παραλήψεως, καὶ τῆς ἐπεγειρούσης ἡμᾶς πρὸς τὴν ἐντεῦθεν ἀνάπτησιν θεοσυνδέτου ἀλκῆς, περὶ ὧν οἱ προκείμενοι στίχοι διδάσκουσι, τὰ μὲν περιττὰ μολύσματα τῆς ὕλης περικόπτοντες διὰ τοῦ, ΕΙΡΓΟΥ ΒΡΩΤΩΝ, ΩΝ ΕΙΠΟΜΕΝ· τὴν δὲ ἱερὰν ΚΑΘΑΡΣΙΝ, καὶ τὴν θεοσύνδετον ἀλκὴν ἐντιθέντες δι᾽ ὧν ἠνίξαντο οὕτωσι λέγοντες, ΕΝ ΤΕ ΚΑΘΑΡΜΟΙΣ,

& sol etiam totum quid est ex incorporeo atque corporeo haud aliquando separatis, deinde coniunctis; (ita enim etiam rursum distinguerentur) sed simul conditis, eóque ordine congenitis, vt alterum quidem ducatum præstet; alterum autem sequatur: ita se habet in omnibus deinceps rationis participibus generibus; heroum scilicet atque hominum. & est heros quilibet animus rationis particeps corpori lucido coniunctus: & homo similiter animus etiam ratione prędítus cum congenito corpore immortali. Atque hoc quidem est Pythagoreorum dogma, quod Plato proculdubiò promulgauit postea; cùm diuinum omnem, atque humanum animum, congenitæ virtuti alati currus, atque aurigæ comparauit. Est igitur nobis ad animi perfectionem veritate opus, atque virtute: ad lucidi autem corporis nostri PVRGATIONEM, sordium fęculẽtarũ detersione, & sacrarum PVRGATIONVM assumptione; robore præterea diuinitus annexo, vt inde sursum euolare valeamus. Qualia versibus istis significantur; cùm materiæ sordes eo tollunt, quòd CIBIS ABSTINERE, QVOS DIXIT, præcipiunt. cùm deinde sacram purgationem, diuinitúsque adnexum robur adiicienda eo innunt, quòd TVM IN PVRGATIONIBVS

TVM IN ANIMI SOLVTIONE DIIVDICANS, adiungunt. Cùm denique totam humanæ naturæ ſpeciem integram atque perfectam reddi volunt, vbi AVRIGAM RATIONEM SVPRA COLLOCANDAM ESSE concludunt. Hoc enim totam etiam naturam ſignificauit, atque partium ordinem in ea diſtinxit: quarum altera iudicandi quidem habet facultatem; tanquam AVRIGAE fungatur officio: altera autē parēdi, tāquā habenis regatur. Poteſt igitur ex propoſitis carminibus ab illis intelligi, qui ſymbolis Pythagoricis credūt oportere virtutis exercitatione, veritatiſque atque puritatis reſumptione, eorum curam gerere, quæ ad lucidum corpus noſtrum pertinent; quod etiam animi vehiculum oracula nominant. Extēditur verò PVRGATIO iſta ad cibos vſque, & potiones, vniuerſamque adeò victus rationem mortalis noſtri corporis; in quo iacet quod ſplendidum eſt, vitam inanimo corpori inſpirans, atque ipſius harmoniam continens. Vita enim corpus eſt quod materia deſtituitur, quódque vitam materiæ inhęrentem generat; per quam mortale noſtrum perficitur, quód ex vita rationis experte, materialique corpore componitur, hominis illius imago exiſtens, qui ex rationis participe ſubſtantia, & corpore materia deſtituto componitur. Quoniam igitur homo ipſi ſumus:

ΕΝ ΤΕ ΛΥΣΕΙ ΨΥΧΗΣ ΚΡΙ-
ΝΩΝ. καὶ τὸ ὅλον εἶδος τῆς ἀνθρωπίνης οὐ-
σίας ὁλόκληρον ἡμῖν ἀποδεδώκασι δι' ὧν ἐπή-
γαγον, ΗΝΙΟΧΟΝ ΓΝΩΜΗΝ
ΣΤΗΣΑΣ ΚΑΘΥΠΕΡΘΕΝ γρ.
ΑΡΙΣΤΗΝ. τοῦτο γὰρ καὶ τὴν ὅλην οὐσίαν ταύτῳ
παρέστησε, καὶ τὴν τάξιν τῶν ἐν αὐτῇ μερῶν
διεστείλατο, ὅτι τὸ μὲν ΚΡΙΤΙΚΟΝ, ὡς
ΗΝΙΟΧΟΥΝ· τὸ δὲ ἑπόμενον, ὡς γρ.
ΗΝΙΟΧΟΥΜΕΝΟΝ. ταῦτα γὰρ ἐστὶν σὺν
ἐκ τῶν προκειμένων ἐπῶν διδαχθῆναι τὸν τῶν
πυθαγορείων συμβούλων μὴ ἀνήκοον, ὅτι δεῖ ἴσως
σὺν τῇ ἀσκήσει τῆς ἀρετῆς, καὶ τῇ ἀναλήψει τῆς συμβό-
ἀληθείας, καὶ καθαρότητος, ἐπιμέλειαν ποιεῖσθαι λων
τῶν περὶ τὸ αὐγοειδὲς ἡμῶν σῶμα, ὃ καὶ ψυχῆς
λεπτὸν ὄχημα οἱ χρησμοὶ καλοῦσι. διατείνει δ'
αὕτη ἡ ΚΑΘΑΡΣΙΣ ἕως σιτίων καὶ ποτῶν,
καὶ τῆς ὅλης διαίτης τοῦ θνητοῦ ἡμῶν σώματος,
ἐν ᾧ τὸ αὐγοειδὲς ἔγκειται προσπνέον τῷ ἀψύ-
χῳ σώματι ζωὴν, καὶ τὴν ἁρμονίαν αὐτοῦ συ-
νέχον. ζωὴ γὰρ ἐστὶ τὸ ἄϋλον σῶμα, καὶ ζωῆς
ἀΰλου γεννητικὸν, δι' ἧς τὸ θνητὸν ἡμῶν σῶμα
συμπληροῦται ἐκ τῆς ἀλόγου ζωῆς, καὶ τοῦ
ὑλικοῦ σώματος συγκείμενον, εἴδωλον ὂν τοῦ
ἀνθρώπου, ὃς ἐκ λογικῆς οὐσίας καὶ σώματος
ἀΰλου συνέστηκεν. ἐπεὶ οὖν ἡμεῖς ὁ ἄνθρωπος·

ἄνθρωπος δὲ διὰ ταῦτα προσήκει διὰ πάντων μὲν ΚΑΘΗΡΑΣΘΑΙ καὶ τελειωθῆναι, τὸν δὲ ἐπιβάλλοντα τρόπον ἐφ' ἑκάστης φύσεως τηρῆσαι. ἔστι γὰρ ἄλλη ἄλλου ΚΑΘΑΡΣΙΣ. οἷον, ψυχῆς λογικῆς, κατὰ μὲν τὸ λογικὸν, ΚΑΘΑΡΣΙΣ ἐπιστημονικὴ ἀλήθεια· κατὰ δὲ τὸ δοξαστικὸν ἡ βουλευτικὴ ἀρετή. θεωρεῖν γὰρ τὰ ἄνω πεφυκότες, καὶ πράττειν τὰ κάτω, ἀληθείας μὲν πρὸς ἐκεῖνα, πολιτικῆς δὲ ἀρετῆς πρὸς ταῦτα δεησόμεθα, ὅπως ἂν τῶν μὲν ἀϊδίων θεωρητικοὶ γινώμεθα, τῶν δὲ ἐνεχομένων ποιητικοί. κατ' ἀμφότερα δὲ τοῖς θείοις ὅροις ἐμμένοντες τὸν τῆς ἀλογίας ἀποφύγοιμεν κλύδωνα. ἀπὸ ταύτης γὰρ δεῖ ΚΑΘΗΡΑΣΘΑΙ τὴν λογικὴν ἡμῶν οὐσίαν, ἐπεὶ καὶ ταύτης προῆλθεν ἐν τῇ γενέσει. ἀλλὰ δὴ καὶ τῷ αὐγοειδεῖ ἡμῶν σώματι προσέφυ σῶμα θνητὸν ὂν, καθαρεῦσαι δεῖ καὶ τοῦτο, καὶ τῆς πρὸς αὐτὸ συμπαθείας ἀπαλλαγῆναι. λείπεται δὴ οὖν ἡ τοῦ ψυχικοῦ σώματος ΚΑΘΑΡΣΙΣ, ἣν ποιήσασθαι δεῖ τοῖς ἱεροῖς ἑπόμενον θεσμοῖς, καὶ ταῖς ἱεραῖς τέχναις. σωματικωτέρα δέ πως αὕτη ἡ ΚΑΘΑΡΣΙΣ. διὸ καὶ ὑλῶν ἐφάπτεται παντοδαπῶν θεραπεύουσα παντοίως καὶ μεταπείθουσα δραστηρείως τὸ ζωτικὸν τοῦτο σῶμα χωρισθῆναι τῆς ὕλης, καὶ ἀναπτῆναι πρὸς τὸν αἰθέριον

γρ' ἀλλ' ἐπειδὴ

homo autem per ista: omnibus quidẽ PVRGARI, atque perfici necesse est; modum autem, qui in vtraque natura emineat, retinere. Est enim alia alius PVRGATIO. Verbi gratia; animi rationis participis, (si quidem id spectes, quod ratiocinandi vim habet) PVRGATIO scientiæ effectrix veritas est: sin autem ad opinionem attendas: virtus ea, quæ in cõsultatione posita est. Cũ enĩ ita sim⁹ natura efformati, vt quę sursum sunt, cõtemplemur; regamus autem quæ deorsum: veritate quidem ad illa; ciuili autem virtute ad ista indigemus: vt sempiternarum quidem rerum contemplationi; eorum verò actioni, quæ decent, incumbamus. In vtrisque autem eius, quod rationi aduersatur, procellas effugerimus, si diuinis finibus nos ipsi contineamus. Decet enim eo naturam nostram rationis participẽ mũdare; quando & istam in generatione præcessit. Quoniam vero lucido etiam corpori nostro adnatum corpus mortale est; decet & istud quoque PVRGARI, suaque ipsum contagione liberari. Superest igitur animalis corporis PVRGATIO, quam decet facere sacrarum legum, atque eiusdem generis artium obseruatione. Sed est quodammodo crassior isthęc PVRGATIO: quo fit, vt quascunque materias attingat, sanans penitus, & eò statim animale corpus istud adducens, vt materia se liberet, & in æthereum

locum euolet, in quo ſedem habere prima ipſi felicitas fuit. Quæcunque autem circa iſtud fiunt, ſi ita fiunt, vt Deo conuenit; non autem præſtigiatoriè; virtutis atque veritatis regulæ conuenire reperiuntur. PVRGATIONES enim animi rationis participis lucido etiã vehiculo præcauent; vt cùm earum opera pennas adeptũ fuerit, iter ad ſuperiora minimè impediatur. Fuerit verò pẽnarũ ipſi productio optima, ſi paullatim terrenarũ rerũ agitetur repudiũ; ſique materiam vitare aſſueſcat; ſi ea etiam inquinamẽta deponat, quibus propter coniunctionem, quam cum materiali corpore habebat, abundabat. Iſtis enim reuiuiſcit quodammodo, & colligitur, diuinoque robore impletur; animi denique intellectuali perfectioni coniungitur. Quid igitur, ſi ad iſta conferant CIBI nonnulli; iis procul dubiò, quibus ſeparari ab omnibus, quæ ſunt morti obnoxia, vſitatum eſt, prima ad PVRGATIONEM via fuerit, ſi nonnullis iſthinc ſtatim abſtineat penitus, eiſque maximè, quæ animo voluptatem adferunt; aut mortale corpus ad venerem excitant. Itaque & ſymbolicis præceptis nonnullorum iuſſa eſt abſtinentia, ſenſum quidem primum habens ampliorem atque generaliorem; ſed conſequenter & hoc ipſum etiam cauens peculiariter, cuius mentionem

τόπον, ὅπου τὴν κατάταξιν ἔχειν αὐτῇ εὐδαιμονία ἦν προσῆκε. πάντα δὲ τὰ περὶ τοῦτο δρώμενα, ἐὰν θεοπρεπῶς, καὶ μὴ ἀγυρτικῶς γίνηται, συνεπόμενα τοῖς τῆς ἀρετῆς καὶ ἀληθείας κανόσιν εὑρίσκεται. αἱ γὰρ τῆς λογικῆς ψυχῆς ΚΑΘΑΡΣΕΙΣ, καὶ τοῦ αὐγοειδοῦς ὀχήματος προμηθοῦνται, ὅπως ἂν αὐταῖς ὑπόπτερον καὶ τοῦτο γινόμενον μὴ ἐμποδὼν ἵσταται πρὸς τὴν ἄνω πορείαν. πτεροφυΐα δὲ αὐτοῦ ἀρίστη ἡ κατὰ μικρὸν μελέτη τῆς τῶν περιγείων ἀποστάσεως, καὶ ὁ πρὸς τὴν ἀϋλίαν ἐθισμός, καὶ ἡ ἀπόθεσις ὧν ἂν ἐπλήσθη μολυσμῶν ἐκ τῆς πρὸς τὸ ὑλικὸν σῶμα συζεύξεως. διὰ γὰρ τούτων ἀναβιώσκεται τρόπον τινὰ, καὶ συλλέγεται, καὶ θείου πληροῦται τόνου, καὶ τῇ νοερᾷ τελειότητι τῆς ψυχῆς συνάπτεται. τί οὖν εἰ ἐνίων βρωμάτων πρὸς ταῦτα συμβάλλοιτο ἄν; ἢ τοῖς ἐθιζομένοις ἀπὸ πάντων χωρίζεσθαι τῶν θνητῶν, τὸ τινῶν ἐντεῦθεν ἤδη παντελῶς ἀπέχεσθαι, καὶ μάλιστα τῶν γλυκοθυμούντων, καὶ κατατεινόντων εἰς γένεσιν τὸ θνητὸν σῶμα, πρόοδος ἂν γένοιτο εἰς ΚΑΘΑΡΣΙΝ· διὸ καὶ ἐν τοῖς συμβολικοῖς παραγγέλμασιν ἐπετάττετο τινῶν ἀπέχεσθαι, μείζονα μὲν, καὶ καθολικώτερον ἔχουσα τὸν προηγούμενον νοῦν· ἑπομένως δὲ καὶ τοῦ μερικοῦ τούτου ἀπείργουσα, ἵν᾽ ἂν τὴν μνήμην

γρ. ἔνια τῶν

γρ.

ἑκάστοτε ποιεῖται· οἷον, μήτραν ζώου μὴ ἐσθίειν. τοῦτο δὲ οὑτωσὶ λεγόμενον, ἑνός τινος ἀφίστησιν ἡμᾶς τῶν περὶ γένεσιν, καὶ τούτου σμικροτάτου. ἐὰν δὲ εἰς τὸ πολύνουν τῆς πυθαγορικῆς βαθύτητος ἀπίδῃς, τὴν ὅλην τῆς γενέσεως ἀποχὴν, δι' ἑνός τινος αἰσθητοῦ διδαχθήσῃ, καὶ ὡς ἐν βρώμασι τοῦτο οὐ προσοισόμεθα. ὡς δὲ ἐν τοῖς τοῦ αὐγοειδοῦς καθαρσίοις τὸ ἀπὸ τούτου νοούμενον ἐπιτηδεύσωμεν, ὁμοίως καὶ τὸ καρ-

χέ δίαν μὴ ἐσθίειν, προηγουμένως μὲν εἰς τὴν τοῦ

θυμικοῦ μυθικοῦ κατάβασιν μὴ ἰέναι λέγει· κατ' ἐπακολούθησιν δὲ καὶ τὴν τοῦ μέρους ἀποχὴν εἰσηγεῖται. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὸ θνησιμαίων ἀπέχεσθαι δεῖν, θεωρήσωμεν τὸ μὲν ὅλον τῆς θνητῆς φύσεως ἀπείργειν ἡμᾶς· ἤδη δὲ καὶ τῆς τῶν ἀθύτων, καὶ ἀνιέρων σαρκῶν μεταλήψεως. δίκαιον γὰρ τῶν συμβολικῶν νουθετήσεων καὶ τὸ προφερόμενον φυλάττειν, καὶ τὸ εἴσω νοούμενον. ἐκ γὰρ τῆς συνεχοῦς τοῦ φαινομένου τηρήσεως ἡ τῶν μειζόνων μηχανᾶται κατόρθωσις· οὕτως οὖν καὶ νῦν ἀκουσώμεθα, ὡς διὰ βραχυτάτου

χέ λόγου, μεγίστων ἔργων ἀρχὰς ἡμῖν ἐνδιδόντος τοῦ

ΒΡΩΤΩΝ ἔπους. ΕΙΡΓΟΥ γάρ φησι ΒΡΩΜΑΤΩΝ· ὃ ταυτόν ἐστι τῷ, ἀπέχου φθαρτῶν σωμάτων. ἐπεὶ δὲ οὐ πάντων νῦν ἀπέχεσθαι δυνατὸν, ἐπάγει, ΩΝ ΕΙΠΟΜΕΝ·

facit sæpissime. Quale est, cùm animantis vuluam comedi prohibet. Quod cùm ita dicitur, à certa quadam re, eaque tenuissima nos remouet: sin autem ad Pythagoricæ profunditatis sensum multiplicem aspicias, vnius certæ rei nomine, quæ cadit in sensus, & qua VESCI prohibet, totius rei venereæ tibi significatur abstinentia. Vt autem in lucidi corporis PVRGATIONIBVS, idipsum curemus, quod intelligit; similiter & cor edere prohibet: vt præcipuè quidem ab iracundia reuocet; ex consecutione autem, vt ab eadem etiam parte abstinendum esse demonstret. Eadem verò ratione & illud, quo morticinis abstinere præcipit, à mortali natura reiicit: immò verò ab earum participatione carnium, quæ sunt ad sacrificia ineptæ atque prophanæ. Est enim iustum in symbolicis præceptis & id obseruare, quod nominatim cauetur: & idipsum etiam, quod intus significatur. Parit namque assidua eius, quod apparet, obseruatio, virtutis curam ampliorem. Sic igitur & nunc ista intelligamus, tanquam oratione breuissima ingentium operum principia versu nobis præbeantur. Cùm enim CIBIS ABSTINERE præcipit; idem intelligit ac si corporibus vesci prohibeat, quæ corruptionem patiuntur. Quoniam autem nunc CIBIS omnibus ABSTINERI non potest; QVOS DIXIMVS,

adiungit. Addit deinde quo loco de omnibus dictum sit;cùm ET IN PVRGATIONIBVS, ET IN ANIMI SOLVTIONE infert: vt CIBORVM ABSTINENTIA corporei vehiculi splendorem ea curet diligentia, quam par est PVRGATO ANIMO & materialibus impedimentis SOLVTO impendere Addit præterea huiusmodi studio rationis IVDICIVM, quod lucidi corporis curam animi puritati congruam possit adhibere. Itaque & AVRIGAM MENTEM ipsum appellauit, tanquam quæ ad hoc esset natura comparata, vt currui bene regendo præesset. MENTEM quidem, quia ratione prædita facultas sit: AVRIGAM autem, quia corpori moderetur, atque præsit. Est verò amatorius oculus super AVRIGAM collocatus. Quanuis enim animus vnus sit, oculo tamen veluti contemplatur veritatis campum, & vi sua, tanquam manu, congenitum sibi corpus cohibet, atque ad seipsum conuertit, vt totus Deum intueatur, diuinamque similitudinem adipiscatur. Atque hæc quidem est abstinentiæ forma generalis; & quanta bona sibi proponat. Quæ autem singillatim in sacris apophthegmatis secretò tradita sunt, & si singula peculiarem

καὶ πού περὶ τούτων εἴρηται ὑποδείκνυσιν. ΕΝ ΤΕ ΚΑΘΑΡΜΟΙΣ, ΕΝ ΤΕ ΛΥΣΕΙ ΨΥΧΗΣ· ἵν' ἡ ΑΠΟΧΗ ΤΩΝ ΤΡΟΦΩΝ τῆς διαυγείας τοῦ σωματικοῦ ὀχήματος ἐπιμέλειαν ποιεῖται πρέπουσαν τῇ ΚΑΘΑΙΡΟΜΕΝΗ ΨΥΧΗ καὶ ΑΠΟΛΥΟΜΕΝΗ τῶν ὑλικῶν κατόχων. τῇ δὲ τοιαύτῃ ἐπιτηδεύσει τὸν ΚΡΙΤΙΚΟΝ ἐπέστησε λογισμόν, τὸν δυνάμενον τὴν τοῦ αὐγοειδοῦς θεραπείαν τῇ καθαρότητι τῆς ψυχῆς σύμφωνον ἀποδοῦναι. διὸ καὶ ΗΝΙΟΧΟΝ ΓΝΩΜΗΝ αὐτὸν προσηγόρευσεν, ὡς ἐφεστάναι πεφυκότα τῇ τοῦ ὀχήματος εὐταξίᾳ. ΓΝΩΜΗΝ μέν, ὅτι λογικὴ δύναμις ἦν. ΗΝΙΟΧΟΝ δέ, ὅτι ἐφαπτομένη, καὶ ἐπιστᾶσα τοῦ σώματος. τὸ δὲ ςωτικὸν ὄμμα, ὑπὲρ ΗΝΙΟΧΟΝ τέτακται. εἰ γὰρ καὶ μία ΨΥΧΗ, ἀλλ' ὄμματι μὲν ἴδιον θεωρεῖ τὸ τῆς ἀληθείας πεδίον. τῇ δὲ ἀναλόγῳ πρὸς χεῖρα δυνάμει τὸ συμφυὲς σῶμα κατέχει, καὶ πρὸς ἑαυτὴν ἐπιστρέφει, ἵν' ὅλη πρὸς τὸ θεῖον ἴδῃ, καὶ τὴν θείαν ὁμοίωσιν κλήσηται. καὶ ὁ μὲν καθόλου τῆς ἀποχῆς τύπος τοιοῦτος, καὶ τοσούτων ἀγαθῶν στοχαζόμενος. τὰ δὲ ἐπὶ μέρους ἐν τοῖς ἱεροῖς ἀποφθέγμασιν ἐν ἀπορρήτῳ παρεδίδοτο, ὧν ἕκαστον εἰ καὶ μερικὸν

ἀποχὴν εἰσηγεῖτο, οἷον, κυάμων μὲν ἐν σπέρμα-
σι, θνησιδίων δὲ ἐν ζώοις, καὶ τούτων κατὰ γένος,
ὡς ἐπὶ ἰχθύων τὸ, ἐρυθρίνου ἀπέχου, καὶ ἐν
χερσαίοις ἄλλου, καὶ ἑτέρου τινὸς ἐν πτηνοῖς. καὶ τὸ
τελευταῖον, μέρη τινὰ ζώων ἀπηγόρευεν. οἷον,
κεφαλὴν μὴ ἐσθίειν, μηδὲ καρδίαν. ὅμως καὶ ἐν
ἑκάστῳ τούτων τὴν τελειότητα τῆς καθάρσεως
ἐναπετυποῦτο ὁ λόγος· διὰ μὲν τινὰς φυσικὰς
ἰδιότητας τήνδε, ἢ τήνδε εἰς σωματικὴν ἀποχὴν
κατατάξας· διὰ ἑκάστου δὲ τῆς θνητῆς προσ-
παθείας κάθαρσιν εἰσηγούμενος, καὶ ἐθίζων
διὰ πάντων εἰς ἑαυτὸν ἐπιστρέφεσθαι τὸν ἄν-
θρωπον, καὶ τοῦ μὲν τῆς γενέσεως καὶ φθορᾶς τόπου
ἐξαναδύεσθαι, πρὸς δὲ τὸ ἠλύσιον πεδίον, καὶ αἰ-
θέρα τὸν ἐλεύθερον μετοικίσασθαι. ἐπειδὴ δὲ ἐν
τάξει τὴν ἐπίδοσιν τῆς ἀποχῆς ἐποιοῦντο, διὰ
τοῦτο καὶ μαχόμενα, ὡς ἂν οἰηθείη τις, εὑρίσκεται
παρ' αὐτοῖς σύμβολα (τὸ γὰρ, ζώων ἀπέχου, τὸ
καρδίας ἀπέχου ἐναντίον· εἰ μή που τις τὸ μὲν,
καρδίας ἀπέχου, τοῖς ἀρχομένοις παραγγέλλεσθαι
λέγοι· τὸ δὲ ζώων, τοῖς ἤδη τελείοις. πρώτη δὲ
ἡ κατὰ μέρος ἀποχὴ, οἷς τὸ ὅλον ζῷον ἀπηγο-
ρεύετο.) διὸ οὐ παρέργως προσέχειν δεῖ τῇ τάξει
τῆς ἀναβάσεως, ἣν ἐμφαίνει τὰ ἔπη. ΕΙΡΓΟΥ
ΒΡΩ- γάρ φησιν. εἶτα, ὥσπερ ἐρωτῶντος τινός,
ΤΩΝ. ΠΟΙΩΝ; ἀπεκρίνατο, ΩΝ ΕΙΠΟΜΕΝ.

abſtinentiam inſinuent : vt fabarum quidem, in ſeminibus; carnium autem, in animalibus; & in his ſecundum genera; quemadmodum in piſcibus, cùm rubellione abſtinendum præcipit; & in terreſtribus alio; & alio etiam in auibus: cùm denique partes aliquas animalium prohibet; vti capite non veſci, neque cauda. In his tamen ſingillatim PVRGATIONIS perfectionem eo ipſo exprimit oratio, quòd per proprietates quaſdam naturales hoc, vel illud ad corporalem quidem abſtinentiam diſponit : per vnum quodque autem mortalis affectionis PVRGATIONEM inſinuat; & per omnia efficit, vt ad ſe conuerti homo aſſueſcat, locumque generationis atque interitus relinquat, & ad campum Elyſium, liberúmque ætherem commigret. Quoniam autem ordine Pythagoreis fiebant abſtinentiæ progreſſus, vnde etiam ſymbola nonnulla apud eos ſibi repugnare aliquis exiſtimauerit: (eſt enim quod animantibus abſtinere iubet, ei contrarium, quod veſci corde prohibet: niſi ijs, qui initiãtur, hoc quidẽ tradi; illud autem adultis atque perfectis, putes. Eſt autem parte abſtinere ſuperfluè imperatum, quibus totum animal vetitum eſt.) Ideò diligenter attendere oportet ad ordinis rationem, quæ verſibus ipſis indicatur. ABSTINE enim, ait, CIBIS. deinde, tãquã quibus interrogante aliquo; QVOS DIXIMVS, reſpondit.

Et rursum, cùm secundò quæri posset, vbi DIXISSENT Pythagorei, & in quibus disciplinarum traditionibus ciborum abstinentiam docuissent; IN PVRGATIONIBS, ANIMI QVE SOLVTIONE, adiecit: tanquam præcedere PVRGATIONES, sequi autem SOLVTIONEM significet. Sunt verò ANIMI ratione præditi PVRGATIONES, mathematicæ disciplinæ: SOLVTIO autem sursum promouens, ratiocinatrix eorum, quæ sunt, inspectio. Quo factum est, vt singulariter locutus sit, quando INQVE ANIMI SOLVTIONE adiecit; cùm disciplinas multas mathematicè complectatur. Illis ergo, quæ de ANIMO ad PVRGATIONEM, atque SOLVTIONEM, peculiariter dicta sunt, ea etiam par est adiungere de splendido corpore; quę ipsi conueniant. Est igitur necesse, ad PVRGATIONES, quæ fiunt disciplinis, eas etiam accedere, quæ mysticæ sunt; & ad ratiocinatricem SOLVTIONEM sequi sacerdotalem disciplinam, quæ sursum euehat. PVRGANT enim ista propriè, & ANIMI ratione participis spiritale vehiculum perficiũt. Liberant pręterea sordibus à ratione alienis & ad mũdorum spirituũ congressus idoneè habẽdos præparant. Est enim impuro quod purum est, nefas attingere. Quemadmodum

καὶ πάλιν, ὡς πρὸς δευτέραν πεῦσιν ζητοῦσαν, ποῦ εἶπον οἱ πυθαγόρειοι, καὶ ἐν ποίαις μαθημάτων παραδόσεσιν ἀποχὰς βρωμάτων εἰρήκασιν; ἐπήγαγεν, ΕΝ ΤΕ ΚΑΘΑΡΜΟΙΣ, ΕΝ ΤΕ ΛΥΣΕΙ ΨΥΧΗΣ· ὡς τῶν μὲν ΚΑΘΑΡΜΩΝ προηγουμένων, τῆς δὲ ΛΥΣΕΩΣ ἐπακολουθούσης. * δὲ

ΚΑΘΑΡΜΟΙ* λογικῆς ΨΥΧΗΣ εἰσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι· καὶ ἀνάγωγος ΛΥΣΙΣ ἡ διαλεκτικὴ τῶν ὄντων ἐποπτεία. διὸ καὶ ἑνικῶς ἀπήγγελται, ΕΝ ΤΕ ΛΥΣΕΙ ΨΥΧΗΣ, τῆς μαθηματικῆς πλειόνων ἐπιστημῶν περιεχούσης. τοῖς οὖν ἐπὶ ΨΥΧΗΣ εἰς ΚΑΘΑΡΣΙΝ, καὶ ΑΠΟΛΥΣΙΝ οἰκείως παρειλημμένοις δεῖ τὰ ἀναλογοῦντα καὶ ἐπὶ τοῦ αὐγοειδοῦς ἐπιτάξαι. ὥσπερ οὖν τοῖς τε μαθηματικοῖς ΚΑΘΑΡΜΟΙΣ τοὺς τελεστικοὺς συνεισφέναι, καὶ τῇ διαλεκτικῇ ΛΥΣΕΙ τὴν ἱερατικὴν ἀναγωγὴν συνέπεσθαι ἀνάγκη. ταῦτα γὰρ ἰδίως ΚΑΘΑΙΡΟΝΤΑ, καὶ τελειοῦντα τὸ πνευματικὸν ὄχημα τῆς λογικῆς ΨΥΧΗΣ, τῆς μὲν ὑλικῆς ἀζωΐας αὐτὸ χωρίζει· πρὸς δὲ τὴν τῶν καθαρῶν πνευμάτων συνουσίαν ἐπιτηδείως ἔχειν παρασκευάζει. μὴ καθαρὸν γὰρ καθαροῦ ἐφάπτεσθαι οὐκ ἔστι θέμις. ὥσπερ

ἀλλ. ἀταξίας ἢ ἀλογίας

σοῦ τὴν ψυχὴν ἐπιστήμῃ καὶ ἀρετῇ δεῖ κοσμεῖσθαι, ὅπως τοῖς ἀεὶ τοιούτοις συνεῖναι δύνηται· οὕτω καὶ τὸ αὐγοειδὲς καθαρὸν, καὶ ἄϋλον δεῖ παρασκευάσαι, ἵνα τὴν τῶν αἰθερίων σωμάτων ἀνάσχηται κοινωνίαν. δι' ὁμοιότητος γὰρ πάντα φιλεῖ πρὸς ἄλληλα συνάπτεσθαι· τῇ δὲ ἀνομοιότητι καὶ τὰ ἐγγὺς ὄντα τοῖς τόποις χωρίζεται. τοῦτο τῆς τελειοτάτης φιλοσοφίας τὸ μέτρον οἱ πυθαγόρειοι παρέδοσαν πρὸς τὴν ὅλου τοῦ ἀνθρώπου τελειότητα, οἰκεῖον, καὶ σύμμετρον. ὁ γὰρ ψυχῆς μόνης ἐπιμέλειαν ποιούμενος, τοῦ δὲ σώματος ἀμελῶν, οὐ τὸν ὅλον ἄνθρωπον ΚΑΘΑΙΡΕΙ. πάλιν δὴ αὖ ὁ τοῦ σώματος οἰόμενος δεῖν ἐπιμελεῖσθαι χωρὶς τῆς ΨΥΧΗΣ, ἢ τὰς τοῦ σώματος θεραπείας συντελέστην καὶ τῇ ΨΥΧῌ μηδὲν δι' ἑαυτῆς ΚΑΘΑΙΡΟΜΕΝΗ, τὸ αὐτὸ διαμαρτάνει. ὁ δὲ δι' ἀμφοτέρων οἰκείως προϊὼν,* καὶ κατὰ τοῦτο συνάπτεται τῇ τῶν ἱερῶν τέχνῃ ἡ φιλοσοφία, ὡς περὶ τὴν τοῦ αὐγοειδοῦς κάθαρσιν πραγματευομένη, ἣν εἰ χωρίσειας τοῦ φιλοσόφου νοῦ, οὐκ ἔτι τὴν αὐτὴν δύναμιν εὑρήσεις. καὶ γὰρ τῶν συμπληρούντων τὴν ἡμετέραν τελείωσιν τὰ μὲν ὁ φιλόσοφος νοῦς προεξεῦρε· τὰ δὲ ἡ τελεστικὴ ἐνέργεια συνεφέστηκε τῷ φιλοσόφῳ νῷ ἑπομένη. τελεστικὴν δὲ ἐνέργειαν λέγω τὴν τοῦ αὐγοειδοῦς

*καλῶς ποιεῖ. ἢ, εὐλόγως ποιεῖ.

igitur ANIMVM ſcientia, atque virtute ornari decet; vt cum talibus verſari queat: ſic & lucidum corpus purum exiſtere, materiaque carere: vt æthereorum communicationem queat tolerare. Solent enim ſimilitudine cuncta inter ſe coniungi: diſſimilitudine autem, etiam quæ vicina ſunt, loco moueri, atque ſeparari. Hunc præſtantiſſimæ philoſophiæ modum, ad cumulatam hominis perfectionem aptum, & conuenientem, tradiderunt Pythagorei. Qui enim animi ſolùm curam gerit; corpus autem negligit: non hominem PVRGAT integrum. Et qui corporis rurſum, neglecto animo, habendam ſibi ſolùm eſſe rationem exiſtimat; aut conducere aliquid eius ſtudium, EXPVRGATO nequaquam per ſe ANIMO; idem peccat & ipſe. Qui autem per vtrumque aptè incedit, iure id facit, & ita Philoſophiam cum ſacrorum arte coniungit, quæ in ſplendidi corporis PVRGATIONE occupata eſt; quam ſi à philoſophica mente ſeparaueris; non amplius vires eaſdem habere inueneris. Ex his enim, quæ perfectionem noſtram complent, alia quidem philoſophica mens prius inuenit; alia autem adiecit myſtica operatio, quæ mētem philoſophicā ſequitur. Voco autē myſticā operationē, lucidi corporis

purgandi facultatem: vt vniuersæ quidem philosophiæ moderetur quod vires habet contemplandi, tãquam mens: sequatur autẽ quod in agendo positum est, tanquam facultas. Sunt verò eius, quod in actione cõsistit, species duę, ciuilis & mystica. Illa quidẽ, virtutum ope eo ipso nos liberans, quod est rationi cõtrarium: hæc autem sacris artibus terrenas cogitationes amputãs. Exiſtũt porrò ciuilis philosophiæ indicium non paruũ, leges ipsæ; quæ in publico positæ sunt: mysticæ autem philosophiæ, ciuitatum sacra. Est præterea totius quidem philosophiæ apex mens contemplans: medium autem ciuilis: vltimũ verò mystica: retinetque quod primum est (si cum reliquis duobus comparetur) oculi quidem similitudinem; manus autem, atque pedis rationem, quę sequũtur, si cũ primo conferantur. Quæ quidẽ omnia ita sunt inter se cõiuncta, atque ordinata; vt sit imperfectum quod libet, ac stultũ propemodũ, si reliquis destituatur. Quo fit, vt in vnum coire oporteat veritatis inuentricem scientiam; & vim illam, quæ virtutem profert; & eam etiam, quę puritatem operatur: vt menti duci congruum exsurgat ciuile opus; vtque ambobus istis consentaneum bonum proferatur. Atque hic quidem finis est, Pythagoricæ disciplinæ; vt toti penitus alati fiamus ad bonorum diuinorum perceptionẽ. vt cùm mortis tẽpus instabit, relicto

ΚΑΘΑΡΤΙΚΗΝ δύναμιν, ἵνα τῆς
ὅλης φιλοσοφίας τὸ μὲν θεωρητικὸν προηγῆται,
ὡς νοῦς· τὸ δὲ πρακτικὸν, ὡς δύναμις ἕπηται.
τοῦ δὲ πρακτικοῦ δύο θῶμεν εἴδη, πολιτικὸν, καὶ
τελεστικόν. τὸ μὲν διὰ τῆς ἀρετῆς τῆς ἀλογίας ἀποκα-
θαῖρον ἡμᾶς· τὸ δὲ, διὰ τῶν ἱερῶν μεθόδων τὰς
ὑλικὰς φαντασίας ἀποτέμνον. δεῖγμα δὲ οὐ μι-
κρὸν τῆς μὲν πολιτικῆς φιλοσοφίας, οἱ ἐν κοινῷ
κείμενοι νόμοι. τῆς δὲ τελεστικῆς φιλοσοφίας, τὰ
τῶν πόλεων ἱερά. καὶ ἔστι τὸ μὲν ἀκρότατον τῆς
ὅλης φιλοσοφίας ὁ θεωρητικὸς νοῦς· μέσον δὲ ὁ
πολιτικός· καὶ τρίτον ὁ τελεστικός. τοῦ μὲν πρώτου
πρὸς τὰ δύο τὴν ὀφθαλμοῦ ἀναλογίαν ἀπο-
σώζοντος. τῶν δὲ μετ' αὐτὸ πρὸς ἐκεῖνο τὴν χει-
ρὸς καὶ ποδὸς ἀξίαν ἐχόντων, πρὸς ἄλληλα δὲ
πάντων συντεταγμένων, ὡς ἀτελὲς εἶναι ὁποιονοῦν
τούτων καὶ ἐγγὺς μάταιον μὴ τῆς τῶν λοιπῶν συ-
νεργείας τυγχάνον. διὸ εἰς μίαν ἕνωσιν συνελθεῖν
δεῖ τὴν τῆς ἀληθείας εὑρετικὴν ἐπιστήμην, καὶ
τὴν ἀρετῆς περιβλητικὴν δύναμιν, καὶ τὴν
καθαρότητος ἀπεργαστικὴν, ἵνα σύμφωνον τῷ
ἡγουμένῳ νῷ τὸ πολιτικὸν ἔργον ἀποτελῆται, καὶ κϛʹ
τούτοις ἀμφοτέροις ὁμολογούμενον τὸ ἔργον ἀγαθὸν
ἀποφαίνηται. τοῦτο τῆς πυθαγορικῆς ἀγωγῆς τὸ
πέρας, ὅλους δι' ὅλων ὑποπτέρους γενέσθαι
πρὸς τὴν τῶν θείων ἀγαθῶν μετάληψιν, ἵν' ὅταν
ὁ τοῦ θανάτου καιρὸς ἐνστῇ, καταλιπόντες

ἐπὶ γῆς τὸ θνητὸν σῶμα, καὶ τὴν τούτου φύσιν ἀποδυσάμενοι, πρὸς τὴν οὐρανίαν πορείαν ὦσιν εὔζωνοι οἱ τῆς φιλοσοφίας ἀγώνων ἀθληταί. τότε γὰρ καὶ τὴν ἀρχαίαν αὐτοῖς ἀποδίδοσθαι στάσιν, καὶ θεοποιεῖσθαι, ὅσον οἷόν τι ἀνθρώποις θεοῖς γίνεσθαι, μηνύει ὁ λόγος διὰ τῆς λέξεως.

70 ΗΝ Δ' ΑΠΟΛΕΙΨΑΣ ΣΩΜΑ, ΕΣ ΑΙΘΕΡ' ΕΛΕΥΘΕΡΟΝ ΕΛΘΗΣ'
71 ΕΣΣΕΑΙ ΑΘΑΝΑΤΟΣ ΘΕΟΣ, ΑΜΒΡΟΤΟΣ, ΟΥΚ ΕΤΙ ΘΝΗΤΟΣ.

Τοῦτο πέρας τῶν πόνων τὸ κάλλιστον. τοῦτο, Πλάτων φησὶ, ὁ μέγας ἀγὼν, καὶ ἐλπὶς ἡ μεγάλη. τοῦτο φιλοσοφίας ὁ τελεώτατος καρπός. τοῦτο τῆς ἐρωτικῆς, καὶ τελεστικῆς ἔργον τέχνης τὸ μέγιστον, οἰκειῶσαι μὲν καὶ ἀναγαγεῖν πρὸς τὰ ὄντως καλὰ· ἀπολῦσαι δὲ τῶν τῇδε πόνων, ὡς ἐκ τινος καταγείου σπηλαίου τῆς ἐνύλου ζωῆς, καὶ ἀναγαγεῖν πρὸς τὰς αἰθερίους αὐγάς, καὶ ταῖς μακαρίων ἐνιδρῦσαι νήσοις, τοὺς διὰ τῶν προειρημένων ὁδεύσαντας. τούτοις γὰρ ἡ τὸ τῆς ἀποθέσεως ἀπόκειται γέρας. ἐπεὶ εἰς γένος θεῶν οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ, ἢ τῷ κτησαμένῳ ἀλήθειαν μὲν, καὶ ἀρετὴν ἐν ψυχῇ, καθαρότητα δὲ ἐν τῷ πνευματικῷ αὐτῆς ὀχήματι.

ἴσως, ἀποθεώσεως

in terra mortali corpore, eiúsque natura exuta, ad cæleste iter expeditiores fiant philosophicorum certaminum athletæ. tum enim in primum statũ illòs restitutum iri, & Deos fore, quantum licet hominibus, versibus indicatur, qui sequuntur.

70 SIN AVTEM RELICTO CORPORE COMMIGRES AD LIBERVM AETHEREM; ERIS IMMORTALIS DEVS, INCORRPTIBILIS; NEC AMPLIVS MORTI OBNOXIVS.

Sic vbi deposito vacuus te ceperit æther
Corpore, viuꝰ ages semper, semperq́; beatꝰ.

Hîc est laborum omnium finis præstantissimus. Hoc certamen, inquit Plato, magnum; hæc spes ingens. Hic philosophiæ fructus perfectissimus. Hoc amatoriæ, atque mysticæ artis opus maximum; ea videlicet conciliare, & affe re, quæ verè bona sunt: malis autem, quibus hîc opprimimur, tanquam ex profundo fęculentę huius vitæ specu, eripere, & ad æthercam lucem euehere; inque beatorum insulis eos, qui superius iter secuti sunt, collocare. Hos enim etiam expectat pręmium relationis in Deos, in quorum ordinem adsciscí nemini fas sit, nisi qui veritatem quidem, atque virtutem animo ipso adeptus sit; puritatem autem spiritali eius vehiculo.

Ita enim ſanus quidam, atque integer effectus in primi habitus formam reſtituitur, vbi ad ſeipſum verarum rationum collectione redierit, omnemque diuinum ornatum agnouerit, & huius vniuerſi opificem inuenerit. Id autem vbi fuerit effectus (quãtum poteſt poſt PVRGATIONEM) quod ſemper ij ſunt, qui in generationem natura non cadũt; notitijs quidẽ in vniuerſo etiam ad Deum ipſum euehitur: ſed quia congenitum corpus habet, etiã loco indiget; in quo aſtri more atque ordine, veluti ſedem exquirit. Cõueniat verò corpori eiuſmodi locus ille, qui proximè ſub luna ſequitur; tanquam corporibus quidem corruptioni obnoxijs ſuperior; inferior autem cæleſtibus; quem LIBERVM AETHEREM nominant Pythagorei. AETHEREM quidem, tanquam materiæ expers, atque æternum corpus; LIBERVM autem, tanquam materialium perturbationum vacuum. Quid igitur, cum eò peruenerit, aliud futurus eſt, quàm quod innuit, cùm FORE IMMORTALEM pronũtiat; non quidẽ natura, ſed ijs ſimilem, de quibus in verſuum principio locutus eſt? quî enim quod facto progrediẽdi initio ad virtutẽ peruenit, atque eſt in deorũ numerum relatum; idem vnquã cum ijs valeat exiſtere, quæ ab æterno ſunt eiuſmodi? atqui idipſum etiam indicat, quod ſequitur: FORE enim DEVM IMMORTALEM,

INCOR-

οὕτω γὰρ ὑγιής τις καὶ ὁλόκληρος γενόμενος εἰς τὸ τῆς ἀρχαίας ἕξεως εἶδος ἀποκαθίσταται, διὰ τῆς τῶν ὀρθῶν λόγων ἑνώσεως ἀπολαβὼν ἑαυτόν, καὶ πάντα τὸν θεῖον κόσμον ἀναγνωρείσας, καὶ τὸν δημιουργικὸν τοῦδε τοῦ παντὸς ἐξευρών. τοῦτο δὲ γενόμενος, ὡς οἷόν τε μετὰ τὴν ΚΑΘΑΡΣΙΝ, ὃ ἀεί εἰσιν οἱ μὴ εἰς γένεσιν πίπτειν πεφυκότες, τοῦτο γνώσεσιν ἐν τῷ παντὶ καὶ πρὸς αὐτὸν ἀνάγεται τὸν θεόν· σῶμα δὲ συμφυὲς ἔχων, τόπου δεῖται εἰς κατάταξιν ἀστροειδῆ, οἷον θέσιν ζητοῦν. πρέποι δ' ἂν τῷ τοιούτῳ σώματι τόπος ὁ ὑπὸ σελήνην προσεχῶς, ὡς ὑπερέχων τῶν μὲν φθαρτῶν σωμάτων, ὑποβεβηκὸς δὲ τῶν οὐρανίων, ὃν ΑΙΘΕΡΑ ΕΛΕΥΘΕΡΟΝ οἱ πυθαγόρειοι καλοῦσιν. ΑΙΘΕΡΑ μὲν, ὡς ἄϋλον, καὶ ἀΐδιον σῶμα. ΕΛΕΥΘΕΡΟΝ δὲ, ὡς ὑλικῶν παθημάτων καθαρόν. τί οὖν ἐκεῖσε γενόμενος ἔσται, ἢ τοῦτο, ὅ φησιν, ΕΣΣΕΑΙ ΑΘΑΝΑΤΟΣ ΘΕΟΣ, ὁμοιούμενος τοῖς ἐν ἀρχῇ τῶν ἐπῶν λεχθεῖσιν ἀθανάτοις θεοῖς. οὐ φύσει ΑΘΑΝΑΤΟΣ ΘΕΟΣ. πῶς γὰρ τὸ ἀπὸ χρόνου τινὸς προκόψαν, καὶ ἐπιδεδωκὸς εἰς ἀρετήν, καὶ ἀποθέωσιν, τοῖς ἐξ ἀϊδίου τοιούτοις εἰς ταυτὸν ἄν ποτε καταστάιη; δηλοῖ δὲ τοῦτο ἡ προσθήκη. ΕΣΣΕΑΙ ΓΑΡ ΑΘΑΝΑΤΟΣ ΘΕΟΣ, ἐπήγαγεν,

ΑΜΒΡΟΤΟΣ, ΟΥΚΕΤΙ ΘΝΗ-
ΤΟΣ, ἵνα κατὰ ἀφαίρεσιν τοῦ θνητοῦ, ἡ θεοποιΐα
ἡμῶν νοῆται, ἅτε μὴ φύσει, μηδὲ κατ' οὐσίαν
ἡμῖν ἐνυπάρχουσα, ἀλλ' ἐκ προκοπῆς, καὶ κατ'
ἐπίδοσιν ἐπιγινομένη· ὡς ἄλλο γένος εἶναι τὸ τῶν
ΘΕΩΝ ΑΘΑΝΑΤΩΝ μὲν τῇ ἀνόδῳ,
ΘΝΗΤΩΝ δὲ τῇ καθόδῳ γινομένων, οἳ
καὶ τῶν ἀγαυῶν ἡρώων ἐξ ἀνάγκης ὑποβεβή-
κασιν· εἴπερ ἐκεῖνοι μὲν ἀεὶ νοοῦσι τὸν θεόν· οὗτοι
δὲ καὶ εἰς ἄγνοιαν αὐτοῦ ποτὲ πίπτουσιν. οὐ γὰρ δὴ
τὸ τρίτον γένος τελειωθέν, ἢ τοῦ μέσου γένοιτο ἂν
* δὲ τρίτον· ὁμοιοῦται* τῷ πρώτῳ γένει ὑποτεταγ-
μένον τῷ μέσῳ. ἡ γὰρ κατὰ σχέσιν ἐν ἀνθρώποις
ὁρωμένη πρὸς τοὺς οὐρανίους ὁμοιότης, ἤδη
προϋπάρχει τελεώτερον καὶ προσφυέστερον τοῖς
ἡρωϊκοῖς, καὶ μέσοις γένεσι. καὶ οὕτω κοινὴ καὶ μία
πάντων τῶν λογικῶν γενῶν τελειότης θεωρεῖται
ἡ πρὸς τὸν δημιουργὸν θεὸν ὁμοιότης. αὕτη δὲ ἀεὶ
μὲν καὶ ὡσαύτως ὑπάρχει τοῖς οὐρανίοις. ἀεὶ δὲ
μόνον, καὶ οὐχ ὡσαύτως δὲ τοῖς μονίμοις αἰθε-
ρίοις. οὔτε δὲ ἀεί, οὔτε ὡσαύτως, τοῖς μεταπί-
πτουσιν αἰθερίοις, καὶ ἐπὶ γῆς πολιτεύεσθαι πε-
φυκόσι. τὴν δὲ πρώτην καὶ ἀρίστην ὁμοίωσιν
εἰς θεὸν εἴ τις τῆς δευτέρας, καὶ τρίτης ἀπεικα-
σίας παράδειγμα ποιοῖτο, ἢ τὴν δευτέραν τῆς
* γὰρ τρίτης, λέγοι ἂν ὀρθῶς. οὐ * μόνον σκοπὸς

INCORRVPTILEM, NEC AMPLIVS MORTI OBNOXIVM adiicit: vt eius, quod morti subiectum est, ademptione, DEOS nos factum iri significet; cùm neque natura, neque substantia tales existamus; sed progressu, atque profectu euadamus. Quo fit, vt aliud genus istud DEORVM sit, ascensu nimirum IMMORTALE; descensu verò MORTALE, heroïbúsque illustribus necessariò inferius: cùm illi quidem Deum semper mente complectantur; isti autem in eius ignorationem aliquando incidant. Non enim certè tertium genus fuerit, cùm perfectum euaserit; aut eius respectu, quod medium est, tertium fiet: sed erit primo generi simile, cũ medijs subiectum sit. Quæ enim habitudine cum cælestib' esse videtur hominibus similitudo, perfectiùs iã & arctiùs heroicis, mediisque generibus antè inest. Quo fit, vt communis, & sola generũ omniũ ratione præditorũ ea videatur esse perfectio, quę ad opificẽ Deũ accedit. Eadẽ verò sẽper quidẽ, atque similiter, inest cælestibus: sẽper verò tãtùm, nec similiter tamẽ, ęthereis illis, qui stati, firmiq; sunt: nõ autẽ semper, neque similiter, æthereis illis, qui decidũt, & qui ita natura comparati sunt, vt versentur in terra. Primã verò, atque præstantissimã similitudinẽ, quæ cum Deo est, si quis secũdæ, atque adeò tertiæ exẽplar dicat, aut tertiæ secundam; non ineptè dixerit. Non enim solùm is scopus est,

vt opifici Deo similes efficiamur; sed vt id regula optima, vel mediæ similitudniis ratione, consequamur. Quod si ita perfectè minùs assequimur; vel hunc saltem virtutis fructum maximum percipimus; quòd naturę nostrę modū, nec ignoramus, nec ferimus indignè. Est autem virtutis permaximæ, creationis finibus, quibus omnia speciatim distincta sunt, sese continere; ipsasque sequi prouidentiæ leges, quibus omnia pro cuiusque viribus ad bonum congruum feruntur, atque adiunguntur. Atque hæc quidem est aureorum carminum nostra explanatio, qua Pythagorea dogmata mediocri compendio in conspectum vnum posuimus. Decebat enim neque versuum breuitatie sermonem nostrum nos metiri: (ita namque latuisset, cur optimè multa præcepta sunt) neque rursum per vniuersam philosophiam extendere: (fuisset enim id maioris operæ, quàm præsens ratio postulat) sed scribendi modum, quantum fieri potuit, ad eorum sensum referre, eaque tantùm dicere, quę ad generalem dogmatum, quæ uersibus continentur, explicationem facerent. Sunt enim nihil aliud versus isti, quàm philosophiæ imago absolutissima, summorumque in ea dogmatum compēdium, atque elementaris institutio posteris relicta ab ijs, qui legem diuinam secuti in cælum sublati sunt:

ὁμοιωθῆναι τῷ δημιουργῷ θεῷ, ἀλλὰ καὶ πρὸς κανόνα τὴν ἀρίστην, ἢ τὴν μέσην ὁμοίωσιν. εἰ δὲ ἀπολειπόμενοι τούτων τυγχάνομεν, καὶ τὸ τέλειον τῆς ἀρετῆς ἐν τούτῳ καρπούμεθα, ἐν τῷ τὸ μέτρον τῆς οὐσίας ἡμῶν μήτε ἀγνοεῖν, μήτε δυσχεραίνειν. ἀκροτάτη δὲ ἀρετὴ τοῖς τε τῆς δημιουργίας ὅροις ἐμμένειν, οἷς πάντα κατ' εἶδος διακέκριται, καὶ τοῖς τῆς προνοίας ἕπεσθαι νόμοις, δι' οὓς τὰ πάντα κατὰ τὴν οἰκείαν δύναμιν πρὸς τὸ σύμμετρον ἀγαθὸν οἰκειοῦται. τοιαύτη τῶν χρυσῶν ἐπῶν ἡ ἐξήγησις ἡμῖν γέγονε, περιέχουσα ἐν αὐτῇ τῶν Πυθαγορείων δογμάτων μετρίαν σύνοψιν. ἔδει γὰρ μήτε ἐν τῇ τῶν ἐπῶν βραχύτητι στῆσαι τὸν λόγον (οὕτω γὰρ ἂν πολλὰ διέλαθεν, ὅτι καλῶς νενομοθέτηται) μήτε εἰς μῆκος ἀποτεῖναι τῆς ὅλης φιλοσοφίας αὐτὸν (μεῖζον γὰρ τοῦτο, ἢ κατὰ τὸν παρόντα λόγον)· ἀλλὰ τὸ μέτρον τῶν λόγων, ὅσον οἷόν τε, πρὸς τῶν πάντων ποιήσασθαι νοῦν, τοσοῦτον μόνον ἐν αὐτοῖς ἐξαπλώσαντας, ὅσον ἐκ τῶν καθόλου δογμάτων τῇ τῶν ἐπῶν ἐξηγήσει προσήρμοττεν. ἔστι γὰρ οὐδὲν ἄλλο τὰ ἔπη ταῦτα, ἢ τελειότατος χαρακτὴρ φιλοσοφίας, καὶ τῶν κεφαλαιωδεστέρων αὐτῆς δογμάτων ἐπιτομή, καὶ ὑπὸ τῶν θεῖον νόμον ἀναβεβηκότων ὑπογραφεῖσα τοῖς μετ' αὐτοὺς παιδευτικὴ στοιχείωσις,

ἃ δὴ καὶ τῷ ὄντι, εἴπης ἂν τῆς ἀνθρωπίνης εὐγενείας εἶναι γνώρισμα κάλλιστον, καὶ οὐχ ἑνός τινος τῶν Πυθαγορείων ἀπομνημόνευμα, ὅλου δὲ τοῦ ἱεροῦ συλλόγου, καὶ ὡς ἂν αὐτοὶ εἴποιεν, τοῦ
ἴσως ὁμαΐου παντὸς ἀπόφθεγμα κοινόν. διὸ καὶ νό-
ὁμακο- μος ἦν ἕωθέν τε ἀνισταμένοις αὐτοῖς ἀκροᾶσθαι
ΐου τούτων τῶν ἐπῶν, ὥσπερ τινῶν Πυθαγορικῶν θεσμῶν, ἑνός τινος ὑπαναγινώσκοντος· καὶ πρὸς ἑσπέραν εἰς ὕπνον μέλλοντας τρέπεσθαι· ὅπως ἂν τῇ συνεχείᾳ τῆς μελέτης τῶν τοιούτων λόγων, ζῶντα ἐν αὐτοῖς ἀποφήνωσι τὰ δόγματα. ὃ δὴ καὶ ἡμᾶς ποιεῖν δίκαιον, πρὸς τὸ συναίσθησιν τῆς ἀπ' αὐτῶν ὠφελείας ὀψέ γοῦν ποτε κτήσασθαι.

ΤΕΛΟΣ.

quas certè humanæ etiam ingenuitatis documentum optimum reuerà queas nominare : nec putare Pythagorici cuiusdam commentationem existere ; sed totius sacri conuentus , atque , vt ipsi dixerint, id est, simul audientis cœtus vniuersi, præclaram sententiam. Quo factum est, vt manè versus istos, tanquam oracula Pythagorica, recitante aliquo , audire , idemque vesperi, cùm se ad somnũ conuerterent,facere , lex esset ; vt assidua eiusmodi sermonum meditatione , qualia in eis viuerent dogmata, appareret. Quod sanè & nos etiam obseruare iustum fuerit; vt quam tandem ab eis vtilitatem colligere valeamus , experiamur.

FINIS.

Candido lectori.

NONNVLLA ſunt, amice lector, quorum te monitum volui. Primùm, magnam tibi PETRO MORINO, viro probiſſimo, atque doctiſſimo, habendam eſſe gratiam; cuius opera effectum eſt, vt multis in locis ex Vaticana bibliotheca exemplar noſtrum emendatum ſit. Deinde, vſum me eſſe, cùm ex Italia redirem, PENSIROLAE I. C. Taurini eo tempore profitentis codice ad horam vnam; ex cuius breui inſpectione vaticanæ lectionis fides mihi confirmata eſt. Præterea, quæcunque ad Græcæ editionis imaginem notata videris, coniecturas meas eſſe, in quibus exemplariũ deficiebat autoritas, ſiue mutari debere aliquid, ſiue adijci crederem; quod tamen iudicio tuo relinqui vellem. Addam & hoc etiam; quoniam fieri vix poteſt, vt quæ primùm typis mandantur, erratis careant: tui eſſe officij, ea non ſolùm ſtudioſè corrigere, ſed ijs etiam fauere, qui nihil aliud quàm tibi prodeſſe voluerunt, Vale.

CORRIGE.

In vita Hier. xxi. linea. 12 βάψας. pag. 5. lin. 2. τῷ δὲ τοῖς. 24. ἀρετῆς. 6. 7. τοῦ-τό σοι 14. 24. dele τὸ μὴ. 22. 4. ἀξίαις 25. 25. ὅσον 50. 12. ΤΙΜΗΣΟΜΕΝ 17. ΑΤΙΜΑΣΟΜΕΝ. 53. 16. τοῖς. 54. 1. ΤΙΜΗΣΟΜΕΝ. 69. 15. ποιησόμεθα. 89. 19. τὸ 90. 4. 5. Ἠλάπαστης. 146. 3. θεῷ ἑνί. 165. 10. ἐπιτείνειν. 166. 23. ΚΑΙ 185. 10. ΔΕ 186. 9. adde καὶ ante ΓΥΜΝΑΣΙΟΝ. 201. 3. δηλοῖ. 213. 25. ἕως. 211. 7. εἶτα. 233. 18. ΤΕΛΕΙΩΣΕΩΣ. 245. 16. ἀμφίβιος. 246 4. εἰκοσμίων. 249. 24 ἄ. 269. 15. ΚΩΦΙΤΗΤΟΣ. 270. 8. ὄντων 274. 19. ἐποιοῦντο. 302. 25. φησὶ*. εἶτα. 305. 2. Πυθαγόρειοι. 305. 9. Πυθαγόρειοι.

CORRIGE.

Præfat.pag.v.verſ.6.meli⁹.9.affera deinceps pag. 1. verſu 7. Pythagoreæ. 4. linea 20. regenda.30.veritatem.11.10.LEGIBVS, pro præceptis.16 30.PRIMVM.35.17.Fiet,p.Continget 40.13 poſt nobiles,adde,nulláque vel malitia, vel obliuione laborantes. 43. 12. quæ lucidi corporis ſubſtantiæ comes eſt. & 31.æterno ſimilitudinis. 55. 15. CVLTVS. 59.1.deligere.& 22. ſempiternæ.36. 3. quos. 79.7.qui.87.4. atque eſſe, pro, & quod ſit. 124.17. dici profectò. 132. 20. apta. 143. 11. neque.151. 9. enim.164. 13. ſenſum deueniatur,& 17. eſt;qui animi. 176. 1. tolle præcipit. 224. 18. ſimilitudinem p. cognitionem.235.25.præfocat. 239. 12. DEI NOTITIAM.251. 29.ruentes. 252. 25.ferri. 255. 4. deſpexerit. & 27. aptus fuerat. 259. 19. perturbationum mora,tanquam inuol. 260. 11. collocant. & 26. amentiam. 264. 25. diſpoſitum. 276. 14. ante. 279. 11. quæ noſtra nobis. 280. 10. perturbationum morbo. 288. 30.ſuperius. 291. 24. vt hinc. & 30. innuunt. 292.17. animi tenue veh. 303. 21. exiſtimauerit. & 24. quidem.

Index rerum insigniorum, quæ in hoc Hierocls commentariolo continentur.

A

L

M

Q

R

S

P 5

FINIS.

Excudebat Steph. Preuosteau,